ΑΤΟΣΣΑ

πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει ;

ΧΟΡΟΣ

οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.

ΑΤΟΣΣΑ

τίς δὲ ποιμάντωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ ;

ΧΟΡΟΣ

οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.

ΑΤΟΣΣΑ

πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας ;

ΧΟΡΟΣ

ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

ΑΤΟΣΣΑ

δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

ΧΟΡΟΣ

Ναί, διότι τότε πᾶσα ἡ Ἑλλὰς θὰ ἐγίνετο ὑπήκοος τοῦ βασιλέως.

ΑΤΟΣΣΑ

Καὶ ὑπάρχει ἐκεῖ παρ' αὐτοῖς ἀνδροπλήθεια στρατοῦ ;

ΧΟΡΟΣ

Καὶ στρατὸς τοιοῦτος, ὅστις ἐπροξένησεν εἰς τοὺς Μήδους μεγάλα κακά (40).

ΑΤΟΣΣΑ

Καὶ τί ἄλλο ἐκτὸς τούτου ἔχουσιν ; ἔχουσιν ἐπαρκῆ πλοῦτον ;

ΧΟΡΟΣ

Ὑπάρχουσι παρ' αὐτοῖς πηγαὶ ἀργύρου, θησαυροὶ τῆς γῆς (41).

ΑΤΟΣΣΑ

Εἰς τὰς χεῖρας αὐτῶν ἀπαστράπτουν βέλη καὶ τόξα ;

ΧΟΡΟΣ

Ὄχι· ἀλλὰ δόρατα, δι' ὧν ἐκ τοῦ συστάδην μάχονται καὶ ἀσπιδοφόροι πανοπλίαι.

ΑΤΟΣΣΑ

Ἀλλὰ τίς ὁ ἡγεμὼν καὶ δεσπότης τοῦ στρατοῦ ;

ΧΟΡΟΣ

Οὐδενός εἰσι δοῦλοι, οὐδ' ὑπήκοοι.

ΑΤΟΣΣΑ

Ἀλλὰ τότε πῶς θὰ ἠδύναντο ν' ἀντιταχθῶσιν εἰς τοὺς κατ' αὐτῶν ἐπερχομένους πολεμίους ;

ΧΟΡΟΣ

Καθ' ὃν τρόπον κατέστρεψαν τὸν πολὺν καὶ καλὸν τοῦ Δαρείου στρατόν.

ΑΤΟΣΣΑ

Δεινὰ λέγεις, δυνάμενα νὰ ἐμβάλωσιν εἰς σκέψεις τοὺς γονεῖς τῶν ἀπελθόντων (42).

ΧΟΡΟΣ

ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσει πάντα ναμερτῆ λόγον.
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ΑΓΓΕΛΟΣ.

ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμὴν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ' ἄνθος, οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά.
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος.
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

ΧΟΡΟΣ

ἄνι' ἄνια κακὰ νεόκοτα
πανδάϊ' αἰαῖ, διαίνεσθε, Πέρσαι, τόδ' ἄχος κλύοντες.

ΑΓΓΕΛΟΣ

ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
αὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

ΧΟΡΟΣ

ἦ μακροβίοτος ὅδε γέ τις
αἰὼν ἐφάνθη γεραιοῖς, ἀκούειν τόδε πῆμ' ἄελπτον.

ΑΓΓΕΛΟΣ

καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.

ΧΟΡΟΣ

ὀτοτοτοῖ, μάταν
τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
δάαν Ἑλλάδα χώραν.

ΧΟΡΟΣ

Ταχέως φρονῶ θὰ μάθῃς ἐν ἀκριβείᾳ τὰ πάντα· δὲν εἶνε δύσκολον νὰ ἐννοήσῃ τις ὅτι τὸ βάδισμα τοῦ ἀνδρὸς τούτου εἶνε Περσικόν. Βεβαίως οὗτος θὰ κομίζῃ σαφῆ τινα ἀγγελίαν καλὴν ἢ κακήν (43).

ΑΓΓΕΛΟΣ

Ὦ πόλεις τῆς Ἀσίας πάσης, ὦ χώρα τῶν Περσῶν, λιμὴν μεγάλου πλούτου, πῶς διὰ μιᾶς μόνης πληγῆς τοσοῦτος κατεστράφη ὄλβος, ἅπαν δὲ τὸ ἄνθος τῶν Περσῶν πεσὸν ἀπώλετο! Οἴμοι! εἶνε φοβερὸν πρῶτός τις ν' ἀναγγέλλῃ κακά, ὅμως ἀνάγκη νὰ ἐκθέσω ἅπαν τὸ ἡμέτερον δυστύχημα. Πέρσαι, ὁ τῶν βαρβάρων στρατὸς ἐξ ὁλοκλήρου κατεστράφη.

ΧΟΡΟΣ

Στρ. Α'. Λυπηρά, λυπηρά, νεοφανῆ, ὀλέθρια κακά. Αἰαῖ. Κλαύσατε, Πέρσαι, ἀκούοντες τόσον μεγάλην συμφοράν.

ΑΓΓΕΛΟΣ

Ἡ καταστροφὴ ὑπῆρξε πλήρης καὶ ἐγὼ αὐτὸς ἀνελπίστως ἐπαναβλέπω τὸν ἥλιον τῆς πατρίδος.

ΧΟΡΟΣ

Ἀντιστ. Α'. Πολὺ μακρὸς ὑπῆρξεν ὁ βίος εἰς τοὺς γέροντας ἀκούοντας τὴν ἀνέλπιστον ταύτην συμφοράν.

ΑΓΓΕΛΟΣ

Πέρσαι, ἐγὼ αὐτὸς παρευρεθεὶς καὶ οὐχὶ παρ' ἄλλων ἀκούσας, θὰ διηγηθῶ ὑμῖν ὁποῖα ἐπάθομεν κακά.

ΧΟΡΟΣ

Στρ. Β'. Φεῦ! φεῦ! εἰς μάτην κατὰ τῆς ἐχθρᾶς ἑλληνικῆς χώρας ἐπῆλθον ἐξ Ἀσίας τὰ πολλὰ παμμιγῆ βέλη (44).

ΑΓΓΕΛΟΣ

πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.

ΧΟΡΟΣ

ὀτοτοτοῖ, φίλων
πολύδονα σώμαθ' ἁλιβαφῆ
κατθανόντα λέγεις φέρεσθαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.

ΑΓΓΕΛΟΣ

οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.

ΧΟΡΟΣ

ἴυζ' ἄποτμον δαΐοις
δυσαιανῆ βοάν,
Πέρσαις ὡς πάντα παγκάκως
ἔθεσαν, αἰαῖ στρατοῦ φθαρέντος.

ΑΓΓΕΛΟΣ

ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν.
φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.

ΧΟΡΟΣ

στυγναί γ' Ἀθᾶναι δαΐοις·
μεμνῆσθαί τοι πάρα,
πολλὰς ὡς Περσίδων μάταν
ἔκτισαν εὔπαιδας ἠδ' ἀνάνδρους.

ΑΤΟΣΣΑ

σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορά,
τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη.
ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος,
λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως,
τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν

ΑΓΓΕΛΟΣ

Βρίθουσι νεκρῶν ἐλεεινὰ καταστραφέντων αἱ ἀκταὶ τῆς Σαλαμῖνος καὶ πᾶς ὁ πέριξ χῶρος.

ΧΟΡΟΣ

Ἀντιστρ. Β'. Φεῦ, φεῦ! ὡς λέγεις τὰ σώματα τῶν ἡμετέρων οἵτινες ἔπεσον μαχόμενοι, θαλασσόδαρτα, πολλάκις καταδύντα, φέρονται μετὰ τῶν ἐπιπλεόντων ναυαγίων. (45).

ΑΓΓΕΛΟΣ

Εἰς οὐδὲν ὠφέλησαν τὰ τόξα. Πᾶς ὁ στρατὸς ἀπώλετο δαμασθεὶς ὑπὸ τῶν ναυτικῶν ἐμβόλων.

ΧΟΡΟΣ

Ὕψωσον ὀξεῖαν πένθους κραυγήν, κλαῦσον τοὺς ἀθλίους Πέρσας. Εἰς κακίστην τὰ πάντα περιῆλθον κατάστασιν (46), καταστραφέντος φεῦ! τοῦ στρατοῦ.

ΑΓΓΕΛΟΣ

Ὦ ἀπεχθέστατον τῆς Σαλαμῖνος ὄνομα· δὲν δύναμαι νὰ μὴ στενάξω ὅταν ἐνθυμῶμαι τὰς Ἀθήνας!

ΧΟΡΟΣ

Φρικταὶ εἰς τοὺς ἐχθρούς των αἱ Ἀθῆναι· θὰ ἐνθυμώμεθα αἰωνίως πόσον πλῆθος Περσίδων, ἄνευ τινὸς ὠφελείας κατέστησαν ὀρφανὰς καὶ χήρας (47).

ΑΤΟΣΣΑ

Σιγῶ πρὸ πολλοῦ ἡ δύστηνος ἐκπεπληγμένη ὑπὸ τῶν κακῶν. Διότι ἡ παροῦσα συμφορὰ εἶνε τοιαύτη ὥστε οὔτε νὰ ὁμιλήσῃ, οὔτε νὰ ἐρωτήσῃ τις δύναται. Ἀνάγκη ὅμως οἱ ἄνθρωποι νὰ ὑποφέρωσι τὰ ὑπὸ τῶν θεῶν πεμπόμενα αὐτοῖς κακά· ἀλλὰ σὺ συνελθὼν εἰς ἑαυτὸν καὶ καταστείλας τὴν ὀδύνην σου, διηγήθητι ἐν λεπτομερείᾳ ἅπασαν τὴν ἡμετέραν συμφοράν, εἰπὲ τίς δὲν ἀπέθανε (48), τίνα ἐκ τῶν βασιλέων νὰ

τῶν ἀρχελείων, ὅστ' ἐπὶ σκηπτουχίᾳ
ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.

ΑΓΓΕΛΟΣ

Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος.

ΑΤΟΣΣΑ

ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.

ΑΓΓΕΛΟΣ

Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
στυφλοὺς παρ' ἀκτὰς θείνεται Σιληνιῶν.
χὠ χιλίαρχος Δαδάκης πληγῇ δορὸς
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἀριστεὺς Βακτρίων ἰθαγενὴς
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος Ἀρσάμης τε κἀργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
κυκώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεὺς, Ἀδεύης, καὶ φερεσσεύης τρίτος
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.
Χρυσεὺς Μάταλλος μοριόνταρχος θανὼν,
πυρσὴν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρᾷ βαφῇ·
καὶ Μᾶγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
σκληρᾶς μέτοικος γῆς, ἐκεῖ κατέφθιτο.
Ἄμηστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσιν
πένθος παρασχὼν, Σεισάμης δ' ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγὸς, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,

θρηνήσωμεν ὅστις σκηπτουχίαν ἀναλαβὼν κατέλιπε διὰ τοῦ θανάτου του ἔρημον τὴν τάξιν (49).

ΑΓΓΕΛΟΣ

Ὅσον ἀφορᾷ τὸν Ξέρξην οὗτος ζῇ καὶ βλέπει τὸ φῶς. (50)

ΑΓΓΕΛΟΣ

Ὁ λόγος σου διέχυσεν εἰς τὸν οἶκόν μου φῶς μέγα· λαμπρὰν ἡμέραν ἐκ ζοφωδεστάτης νυκτός.

ΑΓΓΕΛΟΣ

Ἀλλ' ὁ Ἀρτεμβάρης, ἀρχηγὸς μυριάδος ἱππέων, ἐφονεύθη παρὰ τὰς τραχείας τῶν Σιληνιῶν (51) ἀκτάς· καὶ ὁ χιλίαρχος Δαδάκης δορατοπληγεὶς ἐξετινάχθη τοῦ πλοίου του. Καὶ ὁ ἀνδρειότατος τῶν Βακτρίων (52) ὁ ἰθαγενὴς Τενάγων περιπολεῖ τὴν θαλασσόπληκτον τοῦ Αἴαντος νῆσον. Καὶ ὁ Λίλαιος καὶ Ἀρσάμης καὶ τρίτος ὁ Ἀργέστης ἡττηθέντες παρὰ τὴν περιστεροτρόφον τῆς Σαλαμῖνος νῆσον ἔτυπτον διὰ τῆς κεφαλῆς τὸ τραχὺ αὐτῆς ἔδαφος· καὶ ὁ οἰκῶν παρὰ τὰς πηγὰς τοῦ Νείλου Ἀρκτεὺς (53) καὶ ὁ Ἀδεύης καὶ ὁ ἀσπιδοφόρος Φαρνοῦχος καὶ οἱ τρεῖς οὗτοι ἐκ μιᾶς καὶ τῆς αὐτῆς νηὸς ἔπεσον εἰς τὴν θάλασσαν. Καὶ ὁ ἐκ Χρύσης (54) Μάταλλος ὁ μυριόνταρχος, ἀποθανὼν ἔβρεξεν, ἐξαλλάξας τὴν χροιὰν τοῦ προσώπου του, τὴν πυρράν, πυκνὴν καὶ μακρὰν αὐτοῦ γενειάδα διὰ πορφυρᾶς βαφῆς, καὶ ὁ Μᾶγος (55) Ἄραβος καὶ ὁ Βάκτριος Ἀρσάμης, ἀρχηγὸς τρισμυρίων μελανοχρόων ἵππων, εἰς σκληρὰν μετοικήσας γῆν (56), ἐκεῖ ἀπέθανε. Καὶ ὁ Ἄμιστρις καὶ ὁ τὸ φονικὸν ἐπιτηδείως στρέφων δόρυ Ἀμφιστρεὺς καὶ ὁ γενναῖος Ἀριόμαρδος, οὗ ἡ ἀπώλεια ἐλύπησε τὰς Σάρδεις καὶ ὁ ἐκ Μυσίας Σισάμης καὶ ὁ Θάρυβις ὁ ἀρχηγὸς πεντήκοντα καὶ διακοσίων νηῶν, ὁ Λυρναῖος (57) τὸ γένος, ὁ τόσον εὐειδὴς ἀνὴρ κεῖται

κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἔπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχών, εὐκλεῶς ἀπώλετο.
τοιῶνδε ταγῶν νῦν ὑπεμνήσθην πέρι·
πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.

ΑΤΟΣΣΑ

αἰαῖ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
νεῶν πόσον δὴ πλῆθος ἦν Ἑλληνίδων,
ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
μάχην συνάψαι ναΐοισιν ἐμβολαῖς.

ΑΓΓΕΛΟΣ

πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βάρβαρον
ναυσὶν κρατῆσαι. καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
ναῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος·
μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;
ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατόν,
τάλαντα βρίσας οὐκ ἰσορρόπῳ τύχῃ.

ΑΤΟΣΣΑ

ἔτ' ἆρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;

ΑΓΓΕΛΟΣ

ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.

ΑΤΟΣΣΑ

θεοὶ πόλιν σῴζουσι Παλλάδος θεᾶς.
ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; φράσον.

θανὼν ὁ δύστηνος οἰκτρῶς καὶ ἀθλίως. Καὶ ὁ πρωτεύων κατὰ τὴν μεγαλοψυχίαν Συέννεσις, ὁ τῶν Κιλίκων (58) διοικητής, ὁ μόνος ὅστις μεγάλην εἰς τοὺς ἐχθροὺς ἐπήνεγκε βλάβην εὐκλεῶς ἀπώλετο. Ἐκ τῶν ἀρχηγῶν μόνοι οὗτοι ἦλθον εἰς τὴν μνήμην μου, ἀλλ' ἐκ πολλῶν καὶ μεγάλων κακῶν σοὶ ἀναγγέλλω ὀλίγα.

ΑΤΟΣΣΑ

Φεῦ, φεῦ! τὰ μέγιστα τῶν κακῶν ἀκούω, αἶσχος περιποιοῦντα τοῖς Πέρσαις καὶ ὀξεῖς ὀλολυγμοὺς διεγείροντα. Ἀλλ' ἐπανελθὼν εἰς τὴν ὁμιλίαν σου, εἰπέ μοι (τοῦτο) πόσα ἦσαν τὰ ἑλληνικὰ πλοῖα ὥστε νὰ τολμήσωσι νὰ συγκρουσθῶσι διὰ τῶν ναυτικῶν αὐτῶν ἐμβόλων πρὸς τὸν Περσικὸν στόλον;

ΑΓΓΕΛΟΣ

Ἂν ἡ νίκη ἐξήρτητο ἐκ τοῦ πλήθους βεβαίως θὰ ἐνίκα ὁ βαρβαρικὸς στόλος· διότι ὁ τῶν ἑλληνικῶν πλοίων ἀριθμὸς μόλις ἀνήρχετο εἰς τριακόσια, καὶ ἐκ τούτων δέκα ἔμενον ἀποκεχωρισμένα τῶν λοιπῶν. Ἐνῷ τοὐναντίον τὸ πλῆθος τῶν ὑπὸ τοῦ Ξέρξου ἀγομένων, ὡς καλῶς γινώσκω, χιλιάδα ἀπετέλει, αἱ δὲ ἐπὶ ταχύτητι διακρινόμεναι νῆες ἦσαν δὶς ἑκατὸν καὶ ἑπτά. Τοιοῦτος ὁ ἀριθμὸς αὐτῶν. Διὰ τοιαύτης δυνάμεως νομίζεις ὅτι ἠδυνάμεθα ν' ἀπολέσωμεν τὴν μάχην; Βεβαίως ὄχι ἂν (ὀλέθριος) δαίμων δὲν ἤθελε καταστρέψει τὸν στρατὸν βαρύνας τὰ τάλαντα δι' ἀνισορρόπου τύχης.

ΑΤΟΣΣΑ

Λοιπὸν ἡ τῶν Ἀθηνῶν πόλις εἶνε ἀπόρθητος;

ΑΓΓΕΛΟΣ

Διότι οἱ ἄνδρες εἶνε ἀσφαλὲς αὐτῆς προπύργιον.

ΑΤΟΣΣΑ

Οἱ θεοὶ σώζουσι τὴν πόλιν τῆς θεᾶς Παλλάδος. Ἀλλ' εἰπέ μοι ποία ὑπῆρξεν ἡ ἀρχὴ τῆς ναυμαχίας;

τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμὸς, πλήθει καταυχήσας νεῶν ;

ΑΓΓΕΛΟΣ

ἦρξεν μὲν, ὦ δέσποινα τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν·
ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασιν
ναῶν ἐπενθορόντες ἄλλος ἄλλοσε
δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον.
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισὶν
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον·
ταῦτ' ἔλεξε κάρθ' ὑπ' ἐκθύμου φρενός.
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
δεῖπνόν (τ') ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ,
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον,
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης.
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς·

Τίνες ἤρχισαν πρῶτοι, οἱ Ἕλληνες ἢ ὁ υἱός μου ἐπαρθεὶς εἰς τὸ πλῆθος τῶν νηῶν του;

ΑΓΓΕΛΟΣ

Ἀρχὴ (59) τοῦ ὅλου κακοῦ ἐγένετο, δέσποινα, ὀλέθριος ἢ κακὸς δαίμων ἄγνωστον πόθεν φανείς. Ἕλλην ἀνὴρ (60) ἐλθὼν ἐκ τοῦ Ἀθηναϊκοῦ στρατοῦ εἶπεν εἰς τὸν υἱόν σου Ξέρξην ταῦτα. Μόλις ἡ νὺξ διὰ τοῦ μελανοῦ της πέπλου καλύψῃ τὴν γῆν οἱ Ἕλληνες δὲν θὰ μείνωσιν, ἀλλ' εἰσπηδήσαντες εἰς τὰ σέλματα τῶν πλοίων των θὰ ζητήσωσι διὰ κρυφίας φυγῆς νὰ σώσωσι τὴν ζωήν των, ὅπου δυνηθῇ ἕκαστος. Εὐθὺς δ' ὡς οὗτος ἤκουσε ταῦτα μὴ ἐννοήσας τὸν δόλον τοῦ Ἕλληνος μηδὲ τὸν φθόνον τῶν θεῶν, τοιαύτην ἀποτείνει διαταγὴν πρὸς πάντας τοὺς ναυάρχους του. Μόλις παύσῃ ὁ ἥλιος φλέγων τὴν γῆν διὰ τῶν ἀκτίνων του, τὸ δὲ σκότος καταλάβῃ τὰς αἰθερίους ἐκτάσεις, τάξαντες εἰς τρεῖς στοίχους τὸ πλῆθος τῶν πλοίων νὰ φυλάξωσι τοὺς ἔκπλους καὶ τὰ κατακλυζόμενα ὑπὸ τῶν ροχθούντων κυμάτων στενά, διὰ δὲ τῶν λοιπῶν νὰ περικυκλώσωσι τὴν νῆσον τοῦ Αἴαντος· εἰς τρόπον ὥστε ἂν οἱ Ἕλληνες ἤθελον ἀποφύγει τὴν ὀλεθρίαν αὐτῶν τύχην ἀποδιδράσκοντες διὰ τῶν πλοίων των, πάντες οὗτοι (οἱ ἀρχηγοὶ) νὰ ἐτιμωροῦντο διὰ στερήσεως τῆς κεφαλῆς των. Τοιαῦτα εἶπεν ἐν ζωηρᾷ φρενὸς ἐξάψει· διότι ἠγνόει τί ἐπεφύλαττον αὐτῷ οἱ θεοί. Ἐν τούτοις οἱ ἡμέτεροι ἐν πλήρει τάξει καὶ πειθαρχίᾳ παρεσκεύαζον τὸ δεῖπνον καὶ πᾶς ναύτης προσέδεε τὴν κώπην εἰς τὸν εὐήρετμον σκαλμόν. Ὡς δ' ἐξέλιπε τὸ φῶς τοῦ ἡλίου καὶ ἐγένετο νὺξ πᾶς κωπηλάτης καὶ πᾶς ὁπλίτης ἐχώρει πρὸς τὸ πλοῖόν του. Ἡ μία τῶν μακρῶν νηῶν γραμμὴ

πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος,
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών.
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν (ἠχῇ) κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα
ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν. οὐ γὰρ ὡς φυγῇ
παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει·
σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν.
εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύματος,
θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν· «ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών».
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
ναῦς κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.
τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ

ἠκολούθει τὴν ἑτέραν. Ἔπλεον δὲ καθ' ἣν ἕκαστος εἶχε λάβει διαταγὴν καὶ οἱ τῶν νεῶν κυβερνῆται καθ' ὅλην τὴν νύκτα ἐπὶ ποδὸς ἐτήρουν ἅπαντα τὸν ναυτικὸν λαόν. Ἐπροχώρει ἡ νὺξ ἀλλ' ὁ τῶν Ἑλλήνων στρατὸς οὐδαμοῦ ἐφαίνετο εἰς κρύφιον παρασκευαζόμενος ἔκπλουν (61). Ἀλλ' ὅτε λαμπροφεγγὴς ἡ ἠώς, λευκῶν ἐπιβαίνουσα ἵππων, ἐφώτισε πᾶσαν τὴν γῆν, ἐν πρώτοις εὔμολπος βοὴ ἐκ τῶν ἑλληνικῶν προελθοῦσα τάξεων χαρμοσύνως ἀντήχησε, παραχρῆμα δ' ὀξύφωνος ἡ τῆς πετρώδους νήσου ἠχὼ ἀντηλάλαξε. Φόβος κατέλαβε τοὺς βαρβάρους πάντας διαψευσθέντας τῶν ἐλπίδων των. Διότι ὁ παιὰν ὃν τότε οἱ Ἕλληνες ἔψαλλον, δὲν ἦτο παιὰν φυγῆς, ἀλλ' ἐξώρμων εἰς τὴν μάχην μὲ μεγαλόψυχον θάρρος. Ἡ δὲ σάλπιγξ διὰ τῆς ὀξείας αὐτῆς φωνῆς ἔτι μᾶλλον αὐτὸ ἐξέφλεγε. Μόλις δ' ἐδόθη τὸ σύνθημα, πάντες ταὐτοχρόνως διὰ τῆς θορυβώδους κώπης ἔπληξαν τὸ βρυχώμενον κῦμα γενόμενοι παραχρῆμα καταφανεῖς. Καὶ πρῶτον μὲν ἐχώρει τὸ δεξιὸν κέρας (62) ἐν τάξει κ' εὐκοσμίᾳ, κατόπιν δ' αὐτοῦ ἤρχετο ἅπας ὁ λοιπὸς στόλος ἐνῷ πανταχόθεν ἠκούοντο μεγάλαι καὶ ζωηραὶ κραυγαί!» Ἐμπρὸς, παῖδες τῶν Ἑλλήνων, ἐλευθερώσατε τὴν πατρίδα, ἐλευθερώσατε τὰ τέκνα, τὰς γυναῖκας, τοὺς ναοὺς τῶν πατρῴων θεῶν, καὶ τοὺς τάφους τῶν προγόνων. Ὁ σήμερον ἀγὼν γίνεται ὑπὲρ πάντων» (τούτων). Εἰς ταῦτα οἱ ἡμέτεροι ἀπεκρίνοντο διὰ τῆς πολεμικῆς τῶν Περσῶν βοῆς· δὲν ἦτο δὲ πλέον καιρὸς χρονοτριβῆς· ἀλλ' ἐν τῷ ἅμα ναῦς ἔπληξεν ἑτέρας νεὼς τὸ χαλκοῦν ἔμβολον. Ἤρξατο δὲ τῆς συμπλοκῆς πλοῖον ἑλληνικὸν καταθραῦσαν τ' ἀκροστόλια Φοινίσσης νεώς· ἄλλος δ' ἐπ' ἄλλης διηύθυνε τὸ πλοῖόν του. Καὶ κατ' ἀρχὰς μὲν ἀντεῖχε τὸ ῥεῦμα τοῦ Περσικοῦ στρατοῦ· ἀλλ' ὡς ἤ-

ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ τ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβόλοις χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
ναυαγίου πλήθουσα καὶ φόνου βροτῶν.
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον,
φυγῇ δ' ἀκόσμῳ πᾶσα ναῦς ἠρέσσετο,
ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος.
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν θραύμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, εὐχωλὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
εὖ γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέρᾳ μιᾷ
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.

ΑΤΟΣΣΑ

αἰαῖ κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.

ΑΓΓΕΛΟΣ

εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακόν.
τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.

ΑΤΟΣΣΑ

καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φὴς τήνδε συμφορὰν στρατῷ
ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.

θροίσθη ἐν στενῷ χώρῳ πλῆθος τοσοῦτον νηῶν καὶ δὲν ἠδύναντο νὰ παρέχωσιν ἀλλήλοις βοήθειαν, αὐτοὶ δ' ὑφ' ἑαυτῶν ἐπλήττοντο διὰ τῶν χαλκοστόμων ἐμβόλων καὶ κατέθραυον τὰ κωπήρη τῶν νεῶν πλευρὰ τότε τὰ ἑλληνικὰ πλοῖα μετὰ πολλῆς ἐπιτηδειότητος περικυκλώσαντα ἔπληττον τὰ ἡμέτερα ἅτινα ἐβυθίζοντο ἀνατρεπόμενα, ἡ δὲ θάλασσα εἶχε καταστῆ ἀφανὴς καταπληρωθεῖσα ναυαγίων καὶ πεφονευμένων ἀνδρῶν. Τὰ πτώματα δ' ἐκάλυπτον τὰς σκοπελώδεις ἀκτάς· πᾶσα δ' ἐν γένει ναῦς τῶν βαρβάρων ἀτάκτως διὰ συντόνου ἐξέφευγε κωπηλασίας. Ἐκεῖνοι δ' ὡς θύννους ἢ ἑτέραν ἄγραν ἰχθύων διὰ τῶν συντριμμάτων τῶν κωπῶν καὶ τῶν θραυσμάτων τῶν ναυαγίων μᾶς ἔπληττον καὶ κατέκοπτον ἐκ τῶν ὄπισθεν. Οἰμωγαὶ καὶ ὀλολυγμοὶ κατὰ πᾶν ἀντήχουν τὸ πέλαγος μέχρις οὗ τὸ ὄμμα τῆς σκοτεινῆς νυκτὸς (*) τὰ πάντα κατέπαυσε. Τόσον δ' ὑπῆρξε τῶν κακῶν τὸ πλῆθος, ὥστε καὶ ἂν δέκα ὅλας ἡμέρας κατὰ σειρὰν τὰ πάντα διηγούμην δὲν θὰ κατόρθωνον νὰ σοὶ τὰ εἴπω ὅλα. Τοῦτο μόνον σοὶ λέγω ὅτι οὐδαμοῦ οὐδέποτε ἐν μιᾷ ἡμέρᾳ τοσοῦτον διεφθάρη ἀνθρώπων πλῆθος.

ΑΤΟΣΣΑ

Φεῦ! φεῦ! μέγα κακῶν πέλαγος ἐξερράγη ἐπὶ τῶν Περσῶν καὶ παντὸς τοῦ βαρβαρικοῦ γένους.

ΑΓΓΕΛΟΣ

Ἀλλὰ μάθε καὶ τοῦτο ὅτι ὅσα ἤκουσας δὲν εἶνε οὐδὲ τὸ ἥμισυ· διότι ἡ κατόπιν τοὺς Πέρσας πλήξασα συμφορὰ ὑπῆρξε διπλασίως βαρυτέρα τῆς προηγουμένης.

ΑΤΟΣΣΑ

Καὶ δύναται νὰ ὑπάρξῃ δυσμενεστέρα ταύτης τύχη; Ἀλλὰ τίς ἡ ἐπελθοῦσα εἰς τὸν στρατὸν συμφορά, ἥτις κατὰ τὸ λέγειν σου ὑπῆρξε μεγαλειτέρα;

(*) Νυκτὸς ἀφεγγὲς βλέφαρον. (*Φοίνισσαι Εὐριπίδου*).

ΑΓΓΕΛΟΣ

Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς
αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ.

ΑΤΟΣΣΑ

οἴ 'γὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι.
μόρῳ δὲ ποίῳ τούσδε φῂς ὀλωλέναι ;

ΑΓΓΕΛΟΣ

νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅτ' ἐκ νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσῳζοίατο,
κτείνειαν εὐχείρωτον Ἑλλήνων στρατόν,
φίλους δ' ὑπεκσῴζοιεν ἐναλίων πόρων·
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεὸς
ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
αὐθημερὸν φάρξαντες εὐχάλκοις δέμας
ὅπλοισι ναῶν ἐξέθρῳσκον· ἀμφὶ δὲ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅποι τράποιντο. πολλὰ μέν νυν ἐκ χερῶν
πέτροισιν ἠράσσοντο, τοξικῆς τ' ἀπὸ
θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν·
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεοκοποῦσι δυστήνων μέλη,
ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους κἀνακωκύσας λιγύ,
πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,

ΑΓΓΕΛΟΣ

Οἱ ἀκμαιότεροι τῶν Περσῶν κατὰ τὴν ἡλικίαν, οἱ διαπρέποντες ἐπὶ ἀνδρίᾳ καὶ εὐγενείᾳ, οἱ πρωτεύοντες εἰς τὴν πρὸς τὸν βασιλέα πίστιν, πάντες οὗτοι ἀπέθανον αἰσχρῶς καὶ ἀδοξότατα.

ΑΤΟΣΣΑ

Δυστυχὴς ἐγώ! πόσον φρικτὴ ἡ ἡμετέρα συμφορά! Ἀλλὰ ποῖον θάνατον ἀπέθανον;

ΑΓΓΕΛΟΣ

Κεῖται κατέμπροσθεν τῆς Σαλαμῖνος μικρά τις δύσορμος εἰς τὰ πλοῖα νῆσος (63) ἐπὶ τῶν ἀκτῶν τῆς ὁποίας ὁ φιλόχορος ἐνδιατρίβει Πάν. Ἐκεῖ τούτους ἐκπέμπει ὁ Ξέρξης, ἵνα ὅταν οἱ ἐχθροὶ καταστραφέντες ζητήσωσιν ἐκ τῶν πλοίων σωτηρίαν εἰς τὴν νῆσον, ν' ἀποκτείνωσιν εὐχερῶς τοὺς Ἕλληνας μαχητὰς, σώσωσι δὲ τοὺς φίλους ἐκ τῶν θαλασσίων ῥευμάτων, κακῶς ἑρμηνεύων τὸ μέλλον· διότι εὐθὺς ὡς ἔδωκεν ὁ Θεὸς εἰς τοὺς Ἕλληνας τὴν δόξαν τῆς κατὰ θάλασσαν νίκης αὐθημερὸν τὰ χαλκᾶ αὐτῶν περιθέμενοι ὅπλα ἐξεπήδησαν τῶν νεῶν καὶ περιεκύκλωσαν πανταχόθεν τὴν νῆσον εἰς τρόπον ὥστε οἱ ἐν αὐτῇ εἰς ἀμηχανίαν περιέστησαν οὐδεμίαν βλέποντες ὁδὸν σωτηρίας. Ἐκεῖ τότε φοβερὰ προσεβάλλοντο ὑπὸ τῶν κατ' αὐτῶν ἐπιρριπτομένων πετρῶν, πολλοὺς δ' αὐτῶν ἐθανάτωσαν τὰ ἀπὸ τῶν τόξων ἐκπεμπόμενα βέλη· τέλος μιᾷ φωνῇ πάντες ἐφορμήσαντες παίουσι, κρεοκοποῦσι τῶν δυστήνων τὰ μέλη ἕως οὗ πάντας ἐξολόθρευσαν. Ὁ Ξέρξης βλέπων τὴν ἄβυσσον τῶν κακῶν ἀνῴμωξε· διότι εἶχε τὸν θρόνον αὐτοῦ εἰς μέρος ἐξ οὗ ἐφαίνετο ἅπας ὁ στρατὸς, ἐφ' ὑψηλοῦ παρὰ τὴν θάλασσαν λόφου (64). Διαρρήξας δὲ τὰ ἱμάτιά του καὶ ὀξέως ἀνακωκύσας παρήγγειλε τὸν πεζὸν στρατὸν ν' ἀναχωρήσῃ πάραυτα

ἵησ' ἀκόσμῳ ξὺν φυγῇ. τοιάνδε σοι
πρὸς τῇ πάροιθε συμφορὰν στένειν πάρα.

ΑΤΟΣΣΑ

ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν ηὗρε, κοὐκ ἀπήρκεσαν
οὓς πρόσθεν Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
τοσόνδε πλῆθος πημάτων ἐπέσπασεν.
σὺ δ' εἰπέ, ναῶν αἳ πεφεύγασιν μόρον,
ποῦ τάσδ' ἔλειπες, οἶσθα σημῆναι τορῶς;

ΑΓΓΕΛΟΣ

ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν.
στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
διώλλυθ', οἱ μὲν ἀμφὶ κρηναῖον γάνος
δίψῃ πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
διεκπερῶμεν ἔς τε Φωκέων χθόνα
καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ.
κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιΐδος πέδον
καὶ Θεσσαλῶν πόλεις ὑπεσπανισμένους
βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
δίψῃ τε λιμῷ τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν ἠδὲ Μακεδόνων
χώραν ἀφικόμεσθ', ἐπ' Ἀξίου πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Πάγγαιον τ' ὄρος,
Ἀδωνίδ' αἶαν· νυκτὶ δ' ἐν ταύτῃ θεὸς
χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἁγνοῦ Στρυμόνος. θεοὺς δέ τις

καὶ αὐτὸς μετ' αὐτοῦ εἰς ἄτακτον ἐτράπη φυγήν. Τοιαύτη ἡ ἄλλη συμφορὰ ἀξία πολλῶν δακρύων.

ΑΤΟΣΣΑ

Ὦ στυγερὲ δαῖμον, πόσον τρομερὰ διέψευσας τὰς προσδοκίας τῶν Περσῶν. Ὁ υἱός μου θελήσας νὰ τιμωρήσῃ τὰς κλεινὰς Ἀθήνας πικρῶς ἐτιμώρησεν ἑαυτὸν, οὐδ' ἐπήρκεσαν οἱ ἐν Μαραθῶνι προηγουμένως ἀπολεσθέντες Πέρσαι οὓς θέλων νὰ ἐκδικήσῃ ὁ υἱός μου ἐπέσυρε καθ' ἑαυτοῦ τοσοῦτον πλῆθος δυστυχημάτων. Σὺ δ' εἰπέ, ποῦ κατέλιπες τὰς ἐκ τῆς καταστροφῆς διασωθείσας ναῦς; Γινώσκεις τι βέβαιον περὶ αὐτῶν;

ΑΓΓΕΛΟΣ

Οἱ ἀρχηγοὶ τῶν ὑπολειφθεισῶν νεῶν ἐτράπησαν παραχρῆμα εἰς ἄτακτον φυγὴν κατὰ τὴν διεύθυνσιν τοῦ ἀνέμου. Τοῦ δὲ πεζοῦ στρατοῦ τὸ πλεῖστον κατεστράφη ἐν Βοιωτίᾳ οἱ μὲν καταπονηθέντες ἐκ τῆς δίψης παρὰ τὸ εὐφρόσυνον τῆς Κρήνης (65) ὕδωρ, οἱ δὲ ἐξαντληθέντες ἐκ τῆς ὁδοιπορίας. Ἐκεῖθεν ἐπεράσαμεν εἰς τὴν γῆν τῶν Φωκέων καὶ τὴν Δωρίδα καὶ τὸν Μαλιακὸν κόλπον, οὗ τὸ πεδίον ἀρδεύει ὁ Σπερχειὸς διὰ τῶν εὐεργετικῶν αὐτοῦ ὑδάτων· ἐκεῖθεν πάσχοντας σπάνιν τροφῶν ἐδέχθησαν ἡμᾶς ἡ Ἀχαϊκὴ πεδιὰς (66) καὶ αἱ τῶν Θεσσαλῶν πόλεις. Ἐκεῖ πλεῖστοι ἀπέθανον ἐκ δίψης καὶ πείνης· διότι ἀμφότερα ἐπάσχομεν. Κατόπιν ἀφίχθημεν εἰς τὴν γῆν τῶν Μαγνήτων (67) καὶ τὴν χώραν τῶν Μακεδόνων παρὰ τὰς ὄχθας τοῦ Ἀξιοῦ (68) καὶ εἰς τὸ ἕλος τῆς καλαμοτρόφου Βόλβης (69) καὶ εἰς τὸ Παγγαῖον ὄρος (70) καὶ τὴν γῆν τῶν Ἠδωνῶν (71). Τὴν νύκτα ἐκείνην ὁ Θεὸς ἐξήγειρε πρόωρον χειμῶνα, ὅστις ἔπηξε τὰ ῥεῖθρα τοῦ διαυγοῦς Στρυμόνος. Τότε ὁ πρὶν μὴ πιστεύων εἰς τοὺς Θεούς,

τὸ πρὶν νομίζων αὐδαμοῦ τότ' ηὔχετο
λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατὸς, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
μέσον πόρον διῆκε, θερμαίνων φλογί.
πῖπτον δ' ἐπ' ἀλλήλοισιν· ηὐτήχει δέ τοι
ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας,
Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ,
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες
ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
κακῶν ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.

ΧΟΡΟΣ

ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει.

ΑΤΟΣΣΑ

οἴ 'γὼ τάλαινα διαπεπραγμένου στρατοῦ.
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
ὅμως δ', ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν.

ἀπέτεινεν ἤδη αὐτοῖς εὐχὰς καὶ δεήσεις προσκυνῶν γῆν καὶ οὐρανόν. Ἀφοῦ δὲ ἔπαυσεν ὁ στρατὸς δεόμενος διέβη τὸν ἐκρυσταλλωμένον ποταμόν. Καὶ ὅστις μὲν ἐξ ἡμῶν ἐπέρασε πρὶν διασκορπισθῶσι τοῦ Θεοῦ αἱ ἀκτῖνες ἐσώθη· διότι φλέγων διὰ τῶν ἀκτίνων του ὁ λαμπρὸς τοῦ ἡλίου κύκλος ἀνέλυσε τὰ πεπηγότα τοῦ ποταμοῦ ῥεῖθρα θερμάνας αὐτὰ διὰ τῆς φλογός του. Οἱ δὲ διαβαίνοντες ἔπιπτον ἐπ' ἀλλήλων. Εὐτυχὴς δὲ τότε ἐκεῖνος ὅστις τὴν πνοὴν τοῦ βίου τάχιστα ἐξέπνευσεν. Οἱ δὲ ὑπολειφθέντες καὶ σωθέντες μετὰ πολλοῦ κόπου τὴν Θράκην διελθόντες ὀλιγάριθμοι ἐπανῆλθον εἰς τὰς ἑστίας των. Ὥστε ἡ τῶν Περσῶν πόλις ὀφείλει νὰ θρηνήσῃ ποθοῦσα τὴν φιλτάτην αὐτῆς νεολαίαν. Πάντα ταῦτα εἰσὶν ἀληθῆ. Πολλὰ ἐν τούτοις παραλείπω νὰ εἴπω ἐκ τῶν κακῶν ἅτινα ὁ Θεὸς ἐπέρριψεν ἐπὶ τῶν Περσῶν.

ΧΟΡΟΣ

Ὦ ἀκατανίκητε δαῖμον, πόσον βαρὺς κατεπάτησας ἅπαν τὸ Περσικὸν γένος.

ΑΤΟΣΣΑ

Φεῦ! ἡ ἀθλία! ὁ στρατὸς κατεστράφη. Ὦ ἐναργὴς ὄψις τῶν νυκτερινῶν μου ἐνυπνίων, πόσον σαφῶς μοὶ ἐφανέρωσας τὰ ἡμέτερα δυστυχήματα. Ἀλλὰ σεῖς λίαν πλημμελῶς τὰ ἐνύπνιά μου ἐξηγήσατε. Ἐν τούτοις ἐπειδὴ ἡ συμβουλή σας δύναται ἄλλως νὰ ὠφελήσῃ θέλω ἐν πρώτοις μὲν νὰ εὐχηθῶ εἰς τοὺς Θεοὺς καὶ κατόπιν λαβοῦσα ἐκ τοῦ οἴκου μου πλακούντια νὰ ἐπιστρέψω καὶ προσενέγκω ταῦτα ἐξιλαστήριον θυσίαν εἴς τε τὴν γῆν καὶ τοὺς ἀποθανόντας. Καὶ γινώσκω

ἐπίσταμαι μὲν ὡς ἐπ᾽ ἐξειργασμένοις,
ἀλλ᾽ ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
(Ὑμᾶς δὲ χρὴ ᾽πὶ τοῖς δε τοῖς πεπραγμένοις
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ᾽, ἐάν περ δεῦρ᾽ ἐμοῦ πρόσθεν μόλῃ
παρηγορεῖτε καὶ προπέμπετ᾽ ἐς δόμους
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.)

ΧΟΡΟΣ

Ὦ Ζεῦ βασιλεῦ, νῦν . . Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας
ἄστυ τὸ Σούσων ἠδ᾽ Ἀγβανάτων
πένθη δνοφερῷ κατέκρυψας.

πολλαὶ δ᾽ ἁμαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι. . . . .
διαμυδαλέοις δάκρυσι κόλπους
τέγγουσ᾽, ἄλγους μετέχουσαι.

αἱ δ᾽ ἁβρόγοοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρζυγίαν
λέκτρων εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορέστοις.
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.

Στρ. Α΄. νῦν δὴ πρόπασα μὲν στένει
γαῖ᾽ Ἀσὶς ἐκκενουμένα.
Ξέρξης μὲν ἄγαγεν, ποποῖ,
Ξέρξης δ᾽ ἀπώλεσε, τοτοῖ,
Ξέρξης δὲ πάντ᾽ ἐπέσπε δυσφρόνως
βαρίδεσσι ποντίαις.

μὲν ὅτι τὸ κακὸν ἐγένετο, ἀλλ' ἴσως ὑπάρξῃ ἡμῖν εὐτυχέστερον τὸ μέλλον. (Ὑμεῖς δ', ὦ γέροντες, ἀνάγκη εἰς πιστοὺς φίλους φιλικὰς νὰ παράσχητε συμβουλάς· καὶ τὸν υἱόν μου ἂν ἔλθῃ πρὸ ἐμοῦ ἐνταῦθα παραμυθήσατε καὶ προπέμψατε εἰς τ' ἀνάκτορα ἵνα μὴ εἰς τὰ τόσα κακὰ προσθέσῃ καὶ ἕτερον) (72).

ΧΟΡΟΣ

Ὦ Ζεῦ βασιλεῦ! καταστρέψας τὸν στρατὸν τῶν μεγαλαύχων καὶ πολυάνδρων Περσῶν διὰ ζοφεροῦ κατέκρυψας πένθους τὸ ἄστυ τῶν Σούσων καὶ Ἐκβατάνων. Πολλαὶ (**τῶν Περσίδων**) (73) διαρρήξασαι διὰ τῶν ἁπαλῶν αὐτῶν χειρῶν τὰς καλύπτρας καταρδεύουσι τοὺς κόλπους δι' ὑγρῶν δακρύων, τοῦ κοινοῦ συμμετέχουσαι ἄλγους. Ἄλλαι ἁβρῶς θρηνοῦσαι εἰς μάτην ἀναζητοῦν τοὺς νεαροὺς αὐτῶν συζύγους. Αἱ δύστηνοι! καταλιποῦσαι τὰς ἁπαλὰς τῶν λέκτρων στρωμνάς, τέρψιν τῆς τρυφηλῆς νεότητος, δι' ἀκορέστων ἀπολοφύρονται γόων. Καὶ ἐγὼ ἐπίσης τὴν πολυπενθῆ τῶν θανόντων τύχην δι' ἐπαξίων ἐξαίρω θρήνων.

Στρ. Α'. Ἐρημωθεῖσα νῦν στενάζει σύμπασα ἡ τῆς Ἀσίας γῆ. Ὁ Ξέρξης φεῦ **τὸν στρατὸν** ὡδήγησεν, ὁ Ξέρξης φεῦ! τὸν **στρατὸν** ἀπώλεσεν, ὁ Ξέρξης ἀφρόνως διὰ τῶν πλοίων πάντα τὰ κακὰ ἐπεσπάσατο (*).

(*) Μετεφράσαμεν οὕτω συμφώνως πρὸς τὸν ἀρχαῖον σχολιαστὴν ἑρμηνεύοντα «Ξέρξης πάντα (τὰ κακὰ) ἐπεσπάσατο ταῖς βαρίδεσι ναυσί». Κατ' ἄλλους «ὁ Ξέρξης ἄφρον ἔργον ἔπραξε ναυμαχήσας.»

τίπτε Δαρεῖος μὲν οὕτω τότ' ἀβλαβὴς ἐπῆν
τόξαρχος πολιάταις,
Σουσίδαις φίλος ἄκτωρ;
Ἀντ. Α'. πεζοὺς τε καὶ θαλασσίους
(αἵδ') ὁμόπτεροι κυανώπιδες
νᾶες μὲν ἄγαγον, ποποῖ, νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
νᾶες πανωλέθροισιν ἐμβολαῖς, ἠδ' Ἰαόνων χέρες.
τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ' αὐτὸν ὡς ἀκούομεν
Θρῄκης ἄμ πεδιήρεις δυσχίμους τε κελεύθους.
Στρ. Β'. τοὶ δ' ἄρα πρωτομόροιο, φεῦ,
ληφθέντες πρὸς ἀνάγκας ἐή, ἀκτὰς ἀμφὶ Κυχρείας, ὀᾶ·
— — — στένε καὶ δακνάζου βαρὺ δ' ἀμβόασον
οὐράνι' ἄχη, ὀᾶ (ὀᾶ),
τεῖνε δὲ δυσβάϋκτον
βοᾶτιν τάλαιναν αὐδάν.
Ἀντ. Β'. γναπτόμενοι δ' ἁλὶ δεινά, φεῦ,
σκύλλονται πρὸς ἀναύδων, ἐή,
παίδων τᾶς ἀμιάντου, ὀᾶ.
πενθεῖ δ' ἄνδρα δόμος στερηθείς· τοκέες δ' ἄπαιδες
δαιμόνι' ἄχη, ὀᾶ (ὀᾶ),
δυρόμενοι γέροντες
τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
Στρ. Γ'. τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν
οὐκέτι περσονομοῦνται, οὐκέτι δασμοφοροῦσιν
δεσποσύνοισιν ἀνάγκαις, οὐδ' ἐς γᾶν προπίτνοντες
ἄρξονται· βασιλεία
γὰρ διόλωλεν ἰσχύς.
Ἀντ. Γ'. οὐδ' ἔτι γλῶσσα βροτοῖσιν
ἐν φυλακαῖς· λέλυται γὰρ
λαὸς ἐλεύθερα βάζειν,
ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.

Διατὶ νὰ μὴ διευθύνη τὴν ἐκστρατείαν ὁ Δαρεῖος, ἐξ οὗ οὐδὲν κακὸν ἠδύναντο νὰ πάθωσιν οἱ πολῖται, ὁ προσφιλὴς τῶν Σούσων μονάρχης;

Ἀντιστρ. Α'. Χερσαίους καὶ θαλασσίους ὁμόπτεροι κυανόπρωροι ὡδήγησαν φεῦ! νῆες, νῆες αὐτοὺς ἀπώλεσαν φεῦ! νῆες διὰ τῶν πανωλέθρων ἐμβόλων των. Αὐτὸς δ' ὁ ἄναξ μόλις, ὡς ἀκούομεν, ἠδυνήθη νὰ διαφύγῃ τὰς χεῖρας τῶν Ἰώνων διὰ τῶν δυσχειμέρων τῆς Θράκης πεδίων (74).

Στρ. Β'. Οἱ πρῶτοι φεῦ! κατ' ἀνάγκην εἰς τὴν μοῖραν ὑποκύψαντες σήπονται φεῦ! περὶ τὰς Κυχρείας (75) ἀκτάς (76). Κλαῖε καὶ σπαράττου καὶ μέχρις οὐρανοῦ ὕψωσον τὴν βοὴν τῆς ὀδύνης. Ἔντεινε τὴν λυπηρὰν κραυγήν, τὴν κραυγὴν τῆς θλίψεως.

Ἀντιστρ. Β'. Φοβερὰ ὑπὸ τῶν κυμάτων πληττόμενοι κατασπαράττονται φεῦ! ὑπὸ τῶν ἀφώνων τέκνων τῆς ἀμιάντου **θαλάσσης** *(77). Πενθεῖ ὁ οἶκος στερηθεὶς τοῦ δεσπότου του. Ἄπαιδες δ' οἱ γέροντες γονεῖς θρηνοῦντες τὴν μεγίστην αὐτῶν συμφορὰν ἀκούουσι τὴν γενικὴν τῆς ὀδύνης κραυγήν.*

Στρ. Γ'. Οἱ δὲ τὴν Ἀσίαν κατοικοῦντες λαοὶ θὰ παύσωσιν εἰς τοὺς Περσικοὺς ὑπείκοντες νόμους, οὔτε θὰ πληρόνωσι κατ' ἀνάγκην εἰς τοὺς δεσπότας φόρους, οὔτε θὰ κύπτωσι τὴν κεφαλὴν πρὸ τῶν ἀρχόντων, διότι ἡ ἰσχὺς τῶν ἡμετέρων βασιλέων ἀπώλετο.

Ἀντιστρ. Γ'. Δὲν θὰ ἦνε πλέον δέσμιος ἡ τῶν ἀνθρώπων γλῶσσα· ἐλευθερωθεὶς ὁ λαὸς θὰ ὁμιλῇ τοῦ λοιποῦ ἐλεύθερα· διότι ἀπηλλάγη τοῦ τυραννικοῦ ζυ-

αἱμαχθεῖσα δ᾽ ἄρουραν
Αἴαντος περικλύστα
νᾶσος ἔχει τὰ Περσᾶν.

ΜΕΡΟΣ Γ΄.

ΑΤΟΣΣΑ

Φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ᾽ ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν αἰὲν ἄνεμον οὐριεῖν τύχης.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα·
ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν,
βοᾷ δ᾽ ἐν ὠσὶ κέλαδος οὐ παιώνιος·
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ᾽ ἄνευ τ᾽ ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ᾽, ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ᾽ ἀφ᾽ ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ᾽ ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ᾽ αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλάας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα.
ἀλλ᾽, ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ᾽ ἐγὼ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

γοῦ του. Αἱματοβαφεῖσα ἡ περίκλυστος τοῦ Αἴαντος γῆ (78) κατέστη ὁ τάφος τῆς Περσικῆς ἰσχύος (79).

ΜΕΡΟΣ Γ΄.

(Ἡ Ἄτοσσα εἰσέρχεται εἰς τὴν σκηνὴν μετὰ θεραπαινίδων κομιζουσῶν τὰ πρὸς θυσίαν ἀναγκαῖα).

ΑΤΟΣΣΑ

Φίλοι, ὁ πολλὰ ἐν τῷ βίῳ δοκιμάσας κακὰ γινώσκει ὅτι ὁ θνητὸς εἰς ὃν ἐπῆλθε κλύδων συμφορῶν φοβεῖται τὰ πάντα· καὶ ὅτι ἐκεῖνος ὃν ἡ τύχη εὐνοεῖ πιστεύει ὅτι ὁ αὐτὸς τῆς τύχης οὔριος ἄνεμος θὰ τὸν παρακολουθῇ διὰ παντός (80). Οὕτω ἤδη καὶ εἰς ἐμὲ τὰ πάντα ἐμποιοῦσι φόβον, καὶ ὅπου στρέψω τὸ ὄμμα βλέπω τὴν δυσμένειαν τῶν θεῶν, εἰς δὲ τὰ ὦτά μου ἀντηχεῖ βοὴ ἥκιστα παρήγορος (81)· τοσαύτη ἡ ἐκ τῶν κακῶν κατάπληξις τῶν φρενῶν μου! διὸ ἔσπευσα νὰ ἐπανέλθω οἴκοθεν ἄνευ ὀχημάτων καὶ ἄνευ τῆς προτέρας πομπῆς φέρουσα εἰς τὸν πατέρα τοῦ υἱοῦ μου ἐξιλαστηρίους χοάς, δι' ὧν μαλάσσεται ἡ ψυχὴ τῶν τεθνεώτων, ἁγνῆς δαμάλεως εὔποτον γάλα, διαφανὲς μέλι, στάγμα τῆς ἀνθεμουργοῦ μελίσσης, ὑδατίνους σταγόνας παρθενικῆς πηγῆς καὶ ἀκήρατον ποτὸν μητρὸς ἀγρίας, σέμνωμα παλαιᾶς ἀμπέλου· προσέτι εὐώδη καρπὸν ξανθῆς ἐλαίας ἧς τὰ φύλλα ἀείποτε θάλλουσι καὶ ἄνθη πλεκτά, τέκνα τῆς παμφόρου γῆς. Ἀλλ', ὦ φίλοι, συνοδεύσατε διὰ τῶν πρὸς τοὺς νεκροὺς ὕμνων σας τὰς χοὰς ταύτας καὶ ἀνακαλεῖτε τὸν θεὸν Δαρεῖον· ἐγὼ δὲ θὰ πέμψω εἰς τοὺς καταχθονίους θεοὺς τὰς γαπότους ταύτας τιμάς, (τὰς χοὰς ἃς θέλει πίει ἡ γῆ) (82).

ΧΟΡΟΣ

Βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα
φθιμένων πομποὺς
εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλά, χθόνιοι δαίμονες ἁγνοί,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
πέμψατ' ἔνερθε ψυχὴν ἐς φῶς·
εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.

Στρ. Α'. ἦ ῥ' ἀΐει μου μακαρίτας ἰσοδαίμων βασιλεὺς
βάρβαρα σαφηνῆ
ἱέντος τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα ;
παντάλαν' ἄχη διαβοάσω;
νέρθεν ἆρα κλύει μου;

Ἀντ. Β'. ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλλοι χθόνιοι ἁγεμόνες
δαίμονα μεγαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων,
Περσᾶν Σουσιγενῆ θεόν.
πέμπετε δ' ἄνω οἷον οὔπω
Περσὶς αἶα κάλυψεν.

Στρ. Β'. ἦ φίλος ἀνήρ, φίλος ὄ-
χθος· φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς ἀνείης Ἀϊδωνεύς,
οἷον ἀνάκτορα Δαριάν. ἠή.

Ἀντ. Β'. οὔτι γὰρ ἄνδρας πότ' ἀπώλ-
λυ πολεμοφθόροισιν ἄταις,
θεομήστωρ δ' ἐκικλήσκετο Πέρσαις, θεομήστωρ δ'
ἔσκεν, ἐπεὶ στρατὸν εὖ ποδούχει. ἠή.

ΧΟΡΟΣ

Σεβαστὴ ἄνασσα, σέμνωμα τῶν Περσῶν, σὺ μὲν πέμπε τοὺς χοάς σου εἰς τοὺς ὑπογείους θαλάμους (ὑπογείους διαμονάς), ἡμεῖς δὲ δι' ὕμνων θέλομεν παρακαλέσει τοὺς ὁδηγοὺς τῶν νεκρῶν βασιλεῖς τοῦ Ἅδου νὰ ὦσιν εὐμενεῖς εἰς τοὺς ὑπὸ τὴν γῆν (83).

Ἀλλ', ὦ καταχθόνιοι σεπτοὶ δαίμονες, Γῆ καὶ Ἑρμῆ, καὶ σὺ βασιλεῦ τῶν νεκρῶν, ἀναπέμψατε εἰς τὸ φῶς τὴν ψυχὴν τοῦ Δαρείου· διότι ἐκ τῶν θνητῶν μόνος οὗτος θὰ ἠδύνατο νὰ εἴπῃ ἡμῖν ἂν ὑπάρχῃ θεραπεία τις εἰς τὰ κατατρύχοντα ἡμᾶς κακά (84).

Στρ. Α'. Ἆρά γε μὲ ἀκούει ὁ εὐδαίμων ἰσόθεος βασιλεὺς ἐκφωνοῦντα σαφῶς ἐν βαρβάρῳ γλώσσῃ τὰ πολυποίκιλα, θρηνώδη, κακόθροα ἐκφωνήματα; νὰ ἀνακράξω μέχρις αὐτοῦ τὰ λυπηρότατα τῶν δυστυχημάτων; ἆρά γε μὲ ἀκούει κάτωθεν;

Ἀντιστρ. Α'. Ἀλλὰ σύ, ὦ Γῆ καὶ οἱ ἄλλοι τῶν καταχθονίων ἡγεμόνες· συναινέσατε ν' ἀνέλθῃ ἐκ τῶν ἡμετέρων διαμονῶν ὁ ἐν Σούσοις γεννηθεὶς θεὸς τῶν Περσῶν· πέμψατε ἄνω ἐκεῖνον, οὗ ὅμοιον δὲν ἐκάλυψε μέχρι τοῦδε ἡ γῆ τῶν Περσῶν.

Στρ. Β'. Ναί, ἀγαπητὸς ὁ ἀνήρ, ἀγαπητὸς καὶ ὁ τάφος, διότι καλύπτει τὸν ἀγαπητὸν ἐκείνου χαρακτῆρα. Ἀϊδωνεῦ, ἐπίτρεψον Ἀϊδωνεῦ, ν' ἀνέλθῃ ὁ ἀγαθός, ὁ θεῖος ἄναξ Δαρεῖος!

Ἀντιστρ. Β'. Διότι οὐδέποτε οὗτος ἀπώλεσε τὸν ἡμέτερον στρατὸν εἰς καταστρεπτικοὺς πολέμους. Θεόπνευστος ὑπὸ τῶν Περσῶν ἐκαλεῖτο καὶ πράγματι ἦτο θεόπνευστος ἀφοῦ τοσοῦτον καλῶς ἐποδηγέτει τὸν στρατόν· φεῦ!

Στ. Γ΄. βαλὴν, ἀρχαῖος βαλὴν, ἴθ᾽, ἴθ᾽, ἱκοῦ
τόνδ᾽ ἐπ᾽ ἄκρον κόρυμβον ὄχθου,
κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιάρας φάλαριν πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαριάν, οἶ.

Ἀντ. Γ΄. ὅπως καινά τε κλύῃς νέα τ᾽ ἄχη·
δέσποτα δεσπότου φάνηθι.
Στυγία γάρ τις ἐπ᾽ ἀχλὺς πεπόταται·
νεολαία γὰρ ἤδη κατὰ πᾶσ᾽ ὄλωλεν.
βάσκε πάτερ ἄκακε Δαριάν, οἶ.

ΕΠΩιΔΟΣ

αἰαῖ αἰαῖ.
ὦ πολύκλαυτε φίλοισιν θανὼν,
τί τάδε δυνάστα δυνάστα
περὶ τᾷ σᾷ δίδυμα διαγόεν ἁμάρτια
πᾶσᾳ γᾷ τᾷδε
ἐξέφθινται τρίσκαλμοι
νᾶες ἄναες ἄναες.

ΜΕΡΟΣ Δ΄.

ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ.

Ὦ πιστὰ πιστῶν ἥλικές θ᾽ ἥβης ἐμῆς
Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον ;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
λεύσσων δ᾽ ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ᾽ ἐγγὺς ἑστῶτες τάφου
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις

Στρ. Γ΄. Βαλήν, ὦ ἀρχαῖε βαλήν (85), ἐγέρθητι, ἐλθέ, φανοῦ εἰς τὴν ἄκραν τῆς κορυφῆς τοῦ τάφου, ὑψῶν τὴν κροκοβαφῆ τοῦ ποδός σου εὔμαριν (86), καὶ δεικνύων τὸν λόφον τῆς βασιλικῆς σου τιάρας. Ἀνάβηθι, ἀγαθὲ πάτερ, Δαρειάν, φεῦ!

Ἀντιστ. Γ΄. Ἵνα ἀκούσῃς νέα νέου εἴδους δυστυχήματα, Δέσποτα τοῦ ἡμετέρου δεσπότου, φάνηθι. Ἀχλὺς Στυγία περιβάλλει ἡμᾶς· πᾶσα ἡ ἡμετέρα νεολαία κατὰ κράτος ἀπώλετο. Ἀνάβηθι, ἀγαθὲ πάτερ, Δαρειάν, φεῦ!

ΕΠΩιΔΟΣ

(Ὁ χορὸς ἵσταται ἀκίνητος πρὸ τοῦ τάφου).

Αἰαῖ, αἰαῖ! Ὦ σὺ τὸν ὁποῖον θανόντα τόσον πολὺ ἔκλαυσαν οἱ ὑπήκοοί σου, διατί, ὦ δυνάστα δυνάστα νὰ ἐπέλθωσιν αἱ διπλαῖ αὗται ἀποτυχίαι (87) κατὰ τῆς χώρας σου; κατεστράφησαν αἱ ἡμέτεραι τριήρεις, δὲν ἔχομεν πλέον πλοῖα, δὲν ἔχομεν.

ΜΕΡΟΣ Δ΄.

(Τὸ εἴδωλον τοῦ Δαρείου ἐξελθὸν τοῦ τάφου ἵσταται ἐπ' αὐτοῦ).

ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ

Ὦ πιστοὶ υἱοὶ πιστῶν πατέρων, συνομήλικες τῆς νεότητός μου, γηραιοὶ Πέρσαι, ποία ἡ τὴν πόλιν καταθλίβουσα συμφορά; στενάζει, κόπτεται, διασχίζεται τὸ ἔδαφος· τρέμω βλέπων παρὰ τὸν τάφον μου τὴν ἐμὴν σύζυγον ἧς ἐδέχθην προθύμως τὰς χοάς. Καὶ σεῖς ἱστάμενοι πλησίον τοῦ τάφου μου θρηνεῖτε καὶ ψυχαγωγοὺς ἐκφωνοῦντες γόους οἰκτρῶς πρὸς τὰ ἄνω μὲ κα-

οἰκτρῶς καλεῖσθέ μ᾽· ἐστὶ δ᾽ οὐκ εὐέξοδον,
ἄλλως τε πάντως χοἰ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ᾽ ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω. τάχυνε δ᾽, ὡς ἄμεμπτος ὦ χρόνου·
τί ἐστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

ΧΟΡΟΣ

σέβομαι μὲν προσιδέσθαι,
σέβομαι δ᾽ ἀντία λέξαι
σέθεν ἀρχαίῳ περὶ τάρβει.

ΔΑΡΕΙΟΣ

ἀλλ᾽ ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς·

ΧΟΡΟΣ

δίεμαι μὲν χαρίσασθαι,
δίεμαι δ᾽ ἀντία φάσθαι.
λέξας δύσλεκτα φίλοισιν.

ΔΑΡΕΙΟΣ

ἀλλ᾽ ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίσταται,
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ᾽, εὐγενὲς γύναι,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι
λέξον. ἀνθρώπεια δή τοι πήματ᾽ ἂν τύχοι βροτοῖς.
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ᾽ ἐκ χέρσου κακὰ
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.

ΑΤΟΣΣΑ

ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ
ὡς, ἕως τ᾽ ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος·

λεῖτε· ἀλλ' ἡ ἐκ τοῦ τάφου ἔξοδος δὲν εἶναι εὔκολος, ἄλλως τε οἱ τοῦ Ἅδου θεοὶ εἰσὶ προθυμότεροι νὰ λαμβάνωσιν ἢ ν' ἀφίνωσιν. Οὐχ ἧττον ἐγὼ εὗρον χάριν παρ' αὐτοῖς καὶ ἰδοὺ ἦλθον. Ἀλλ' ὁμίλησον ταχέως ἵνα μὴ ἐλεγχθῶ ἐπὶ βραδύτητι. Ποῖον τὸ βαρύνον τοὺς Πέρσας νέον κακόν;

ΧΟΡΟΣ

Δὲν τολμῶ νὰ σὲ ἀτενίσω, δὲν τολμῶ κατὰ πρόσωπον νὰ σοὶ ὁμιλήσω· ὁ ἀρχαῖος πρός σε μὲ συνέχει σεβασμός.

ΔΑΡΕΙΟΣ

Ἀλλ' ἀφοῦ ἦλθον κάτωθεν ἐνδοὺς εἰς τοὺς γόους σου, οὐχὶ διὰ μακρῶν, ἀλλὰ συντόμως τὰ πάντα διηγήθητι ἀποθεὶς τὴν πρός με συστολήν σου.

ΧΟΡΟΣ

Φοβοῦμαι νὰ σ' εὐχαριστήσω, φοβοῦμαι κατὰ πρόσωπον νὰ σοὶ λαλήσω ἵνα εἴπω ὅσα δὲν λέγονται χωρὶς νὰ δυσαρεστήσουν τοὺς φίλους (88).

ΔΑΡΕΙΟΣ

Ἀλλ' ἀφοῦ ὁ παλαιὸς φόβος θορυβεῖ τὰς φρένας σου, σὺ εὐγενὴς γύναι, ἡ παλαιὰ συμμέτοχος τῶν λέκτρων μου, παύσασα νὰ κλαίῃς καὶ νὰ ὀδύρεσαι, εἰπέ μοί τι σαφές. Ἡ δυστυχία εἶνε ὁ κλῆρος τῶν ἀνθρώπων· διότι πολλὰ συμβαίνουσιν εἰς αὐτοὺς κακὰ ἔκ τε τῆς θαλάσσης καὶ τῆς ξηρᾶς ἂν μάλιστα ἐπὶ μακρὸν παραταθῇ ὁ βίος των.

ΑΤΟΣΣΑ

Ὦ σὺ ὅστις ὑπερτέρησας πάντας τοὺς θνητοὺς κατὰ τὴν εὐτυχίαν, διότι ἐνόσῳ ἔβλεπες τὸ φῶς τοῦ ἡλίου, ζηλωτὸς ὤν, διήγαγες μεταξὺ τῶν Περσῶν βίον ὡς θεὸς εὐδαίμονα· καὶ νῦν ἐπίσης σὲ ζηλεύω διότι ἀπέθανες πρὶν ἴδῃς τὴν ἄβυσσον τῶν ἡμετέρων συμφορῶν· Δα-

πάντα γάρ, Δαρεῖ' ἀκούσει μῦθον ἐν βραχεῖ λόγῳ·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.

ΔΑΡΕΙΟΣ

τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκῆπτος, ἢ στάσις πόλει;

ΑΤΟΣΣΑ

οὐδαμῶς. ἀλλ' ἀμφ' Ἀθήνας πᾶς κατέφθαρται στρατός.

ΔΑΡΕΙΟΣ

τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον·

ΑΤΟΣΣΑ

θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.

ΔΑΡΕΙΟΣ

πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας ;

ΑΤΟΣΣΑ

ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.

ΔΑΡΕΙΟΣ

πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν ;

ΑΤΟΣΣΑ

μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον.

ΔΑΡΕΙΟΣ

καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῇσαι μέγαν ;

ΑΤΟΣΣΑ

ὧδ' ἔχει· γνώμης δέ πού τις δαιμόνων ξυνήψατο.

ρεῖε, διὰ βραχέων θ' ἀκούσῃς τὰ πάντα. Ἐν ὀλίγαις λέξεσιν ἅπασα ἡ τῶν Περσῶν δύναμις ἀπώλετο.

ΔΑΡΕΙΟΣ

Τίνι τρόπῳ; ἐνέσκηψεν εἰς τὴν πόλιν λοιμὸς ἢ στάσις;

ΑΤΟΣΣΑ

Οὐδὲν τούτων· ἀλλὰ περὶ τὰς Ἀθήνας κατεστράφη ἅπας ὁ ἡμέτερος στρατός.

ΔΑΡΕΙΟΣ

Καὶ τίς ἐκ τῶν υἱῶν μου ἐστρατηλάτει ἐκεῖ; εἰπέ μοι (89).

ΑΤΟΣΣΑ

Ὁ ὁρμητικὸς Ξέρξης ἐκκενώσας ἅπασαν τὴν ἠπειρωτικὴν χώραν.

ΔΑΡΕΙΟΣ

Διὰ ξηρᾶς ἢ θαλάσσης ἐπεχείρησεν ὁ τάλας τὴν μωρὰν ταύτην ἐπιχείρησιν;

ΑΤΟΣΣΑ

Κατ' ἀμφότερα· ἦτο διπλοῦν μέτωπον δύο στρατευμάτων (90).

ΔΑΡΕΙΟΣ

Ἀλλὰ πῶς τόσος πεζὸς στρατὸς διέβη τὴν θάλασσαν;

ΑΤΟΣΣΑ

Ἔζευξε τὸν Ἑλλήσποντον διὰ μηχανῶν εἰς τρόπον ὥστε κατεσκεύασε πόρον.

ΔΑΡΕΙΟΣ

Καὶ προέβη εἰς τοσοῦτον ὥστε νὰ κλείσῃ τὸν μέγαν Βόσπορον; (91).

ΑΤΟΣΣΑ

Μάλιστα· φαίνεται ὅτι εἰς τὴν ἰδέαν του ταύτην θεός τις τὸν ἐβοήθησε.

ΔΑΡΕΙΟΣ

φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.

ΑΤΟΣΣΑ

ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

ΔΑΡΕΙΟΣ

καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε ;

ΑΤΟΣΣΑ

ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.

ΔΑΡΕΙΟΣ

ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί ;

ΑΤΟΣΣΑ

πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει·

ΔΑΡΕΙΟΣ

ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.

ΑΤΟΣΣΑ

Βακτρίων δ' ἔρρει πανώλης δῆμος, οὐδέ τις γέρων.

ΔΑΡΕΙΟΣ

ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσεν.

ΑΤΟΣΣΑ

μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα...

ΔΑΡΕΙΟΣ

πῶς τε δὴ καὶ ποῖ τελευτᾷν ; ἔστι τις σωτηρία ;

ΑΤΟΣΣΑ

ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.

ΔΑΡΕΙΟΣ

Φεῦ ! μέγας τῳόντι δαίμων διέστρεψε τὰς φρένας του.

ΑΤΟΣΣΑ

Νῦν δύναταί τις νὰ ἐννοήσῃ πόσον μέγα κακὸν ἔπραξεν. (92).

ΔΑΡΕΙΟΣ

Ἀλλὰ τί παθόντες θρηνεῖτε τοιουτοτρόπως ;

ΑΤΟΣΣΑ

Ἡττηθεὶς ὁ ναυτικὸς στρατὸς ἀπώλεσε τὸν πεζικὸν (93).

ΔΑΡΕΙΟΣ

Τί ; ὁ στρατὸς ἅπας καθολοκληρίαν ὑπὸ τοῦ δόρατος κατεστράφη ;

ΑΤΟΣΣΑ

Τούτου ἕνεκα τὸ ἄστυ τῶν Σούσων θρηνεῖ τὸν παντελῆ τῶν ἀνδρῶν του ὄλεθρον.

ΔΑΡΕΙΟΣ

Φεῦ ! οὐδὲν ὠφέλησε τοσούτου στρατοῦ ἀρωγὴ καὶ ἐπικουρία.

ΑΤΟΣΣΑ

Ὁ τῶν Βακτρίων λαὸς ὁλόκληρος κατεστράφη· μόνοι οἱ γέροντες ἔμειναν (94).

ΔΑΡΕΙΟΣ

Ὁ ἄθλιος ! ὁποίαν νεολαίαν συμμάχων ἀπώλεσεν !

ΑΤΟΣΣΑ

Λέγουσι μάλιστα ὅτι ὁ Ξέρξης μόνος, ἔρημος μετ᾽ ὀλιγίστων . . .

ΔΑΡΕΙΟΣ

Καὶ πῶς καὶ ποῦ ἐτελείωσεν ; κατώρθωσε νὰ σωθῇ ;

ΑΤΟΣΣΑ

Ἄσμενος ἐπανεῖδε τὴν ζευγνύουσαν τὰς δύο ξηρὰς γέφυραν.

ΔΑΡΕΙΟΣ

καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;

ΑΤΟΣΣΑ

ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτο κοὐκ ἔνι στάσις.

ΔΑΡΕΙΟΣ

φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἀπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὡ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν, δοῦλον ὥς, δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
θεῶν δὲ, θνητὸς ὤν, ἁπάντων ᾤετ' οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόνος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.

ΑΤΟΣΣΑ

ταῦτά τοι κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν

ΔΑΡΕΙΟΣ

Ἀληθῶς ἐσώθη εἰς τὴν Ἤπειρον ταύτην ;

ΑΤΟΣΣΑ

Ναί· ὡς βέβαιον λέγεται· περὶ τούτου οὐδεμία ὑπάρχει ἀμφιβολία.

ΔΑΡΕΙΟΣ

Φεῦ ! ταχεῖα ἐπῆλθεν ἡ τῶν χρησμῶν πλήρωσις. Ὁ Ζεὺς κατεκεραύνωσε τὸν υἱόν μου διὰ τῆς ἀπαισίας αὐτῶν ἐκβάσεως. Ἐγὼ δ' ἤλπιζον ὅτι οἱ Θεοὶ μετὰ μακρὸν χρόνον θὰ ἐξετέλουν αὐτούς. Ἀλλ' ὅταν τις ἀφ' ἑαυτοῦ σπεύδῃ συμπράττει αὐτῷ καὶ τὸ θεῖον (95). Καὶ ἰδοὺ νῦν πηγὴ δυστυχημάτων ἀνέβλυσεν εἰς πάντας τοὺς φίλους. Ἀλλ' ὁ υἱός μου μὴ ἐννοήσας τοὺς χρησμοὺς ἐβάδισε δι' ἀπερισκέπτου θρασύτητος· ἐνόμισεν ὅτι ἠδύνατο, δεσμεύσας ὡς δοῦλον, νὰ κρατήσῃ τὸν ἱερὸν Ἑλλήσποντον, τὸ ῥεῦμα τοῦ θείου Βοσπόρου· καὶ μετέβαλλε τὸν πόρον αὐτοῦ καὶ διὰ σφυρηλάτων περιβαλὼν αὐτὸν δεσμῶν παρεσκεύασεν εὐρεῖαν κέλευθον εἰς τὸν πολυάριθμον αὐτοῦ στρατόν· θνητὸς ὢν ἐφαντάσθη ἐν τῇ ἀφροσύνῃ του ὅτι ἠδύνατο νὰ κατισχύσῃ τῶν Θεῶν πάντων καὶ αὐτοῦ τοῦ Ποσειδῶνος. Ταῦτα δὲν ἀποδεικνύουν ὅτι ὁ υἱός μου ἐνόσει τὰς φρένας ; Ἐκ τούτων πάντων φοβοῦμαι μὴ ὁ πλοῦτος ὃν διὰ πολλοῦ κόπου ἀπέκτησα γίνῃ ἕρμαιον τοῦ τυχόντος.

ΑΤΟΣΣΑ

Τοιαῦτα ἐδιδάχθη ὁ ὁρμητικὸς Ξέρξης συναναστρεφόμενος μετὰ κακῶν ἀνθρώπων, οἵτινες ἔλεγον αὐτῷ ὅτι σὺ μὲν διὰ τῆς λόγχης προσεπόρισας εἰς τὰ τέκνα σου μέγαν πλοῦτον, ἀλλ' ἐκεῖνος ἐξ ἀνανδρίας λογχίζει οἴκαδε κατ' οὐδὲν αὐξάνων τὸν πατρῷον ὄλβον. Τοιούτους ὀνειδισμοὺς ἀκούων πολλάκις ἐξ ἀνδρῶν κακῶν ἀπε-

τήνδ᾽ ἐβούλευσεν κέλευθον καὶ στράτευμ᾽ ἐφ᾽ Ἑλλάδα.

ΔΑΡΕΙΟΣ

τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω
τόδ᾽ ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ᾽ ὤπασεν,
ἕν᾽ ἄνδρ᾽ ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
ἄλλος δ᾽ ἐκείνου παῖς τόδ᾽ ἔργον ἤνυσεν·
φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.
τρίτος δ᾽ ἀπ᾽ αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ·
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατόν.
πέμπτος δὲ Μάρδις ἦρξεν, αἰσχύνη πάτρᾳ
θρόνοισί τ᾽ ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ᾽ ἦν χρέος.
(ἕκτος δὲ Μάραφις, ἕβδομος δ᾽ Ἀρταφρένης,)
κἀγὼ πάλου τ᾽ ἔκυρσα τοῦπερ ἤθελον,
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ·
ἀλλ᾽ οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ᾽ ἐμὸς παῖς ὢν νέος φρονεῖ νέα,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
εὖ γὰρ σαφῶς τόδ᾽ ἴστ᾽ ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ᾽ ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ᾽ ἔρξαντες τόσα.

φάσισεν ἐν τέλει τὴν κατὰ τῆς Ἑλλάδος ταύτην ἐκστρατείαν.

ΔΑΡΕΙΟΣ

Τῷόντι οὗτοι ἐξειργάσαντο ἔργον μέγιστον, ἀείμνηστον, οὗ ὅμοιον οὐδέποτε ἐνσκῆψαν ἐξερήμωσε τὸ ἄστυ τῶν Σούσων ἀφότου ὁ ἄναξ Ζεὺς παρέσχε τὴν τιμὴν τοῦ νὰ ἄρχῃ εἷς ἀνὴρ ἁπάσης τῆς προβατοτρόφου Ἀσίας φέρων τὸ βασιλικὸν σκῆπτρον. Καὶ πρῶτος μὲν ἀρχηγὸς τοῦ στρατοῦ ὑπῆρξεν ὁ Μῆδος (96)· δεύτερος δ' ὁ υἱὸς ἐκείνου (97), συνεπλήρωσε τὸ ἔργον· διότι ἡ φρόνησις διηύθυνε τοὺς οἴακας τοῦ πνεύματός του· τρίτος δὲ μετ' αὐτὸν βασιλεύσας ὁ Κῦρος, ἀνὴρ εὐτυχής, ἀπέδωκε τὴν εἰρήνην εἰς πάντας τοὺς φίλους. Συμπεριέλαβεν εἰς τὸ κράτος του τὸν λαὸν τῶν Λυδῶν καὶ Φρυγῶν καὶ διὰ πολέμου ὑπέταξε πᾶσαν τὴν Ἰωνίαν· διότι ἕνεκα τῆς φρονήσεώς του ἔσχε πάντοτε εὐμενὲς τὸ θεῖον· τέταρτος διηύθυνε τὸν στρατὸν ὁ υἱὸς τοῦ Κύρου (98)· πέμπτος δ' ἐβασίλευσεν ὁ Μάρδος (99) καταισχύνας τὴν πατρίδα καὶ τὴν ἀρχαίαν βασιλικὴν γενεάν. Τοῦτον ἀπέκτεινεν ὁ γενναῖος Ἀρταφέρνης ἐν αὐτοῖς τοῖς ἀνακτόροις τῇ συνδρομῇ τῶν φίλων οἵτινες ἀνέλαβον μετ' αὐτοῦ τὴν τοιαύτην ὑποχρέωσιν· ἕκτος ὁ Μάραφις, ἕβδομος ὁ Ἀρταφέρνης (100) καὶ μετ' αὐτοὺς ἔτυχον ἐγὼ τοῦ ποθουμένου κλήρου καὶ ἐξεστράτευσα πολλάκις μετὰ πολυαρίθμου στρατοῦ· ἀλλ' οὐδέποτε διὰ τοσαύτης συμφορᾶς προσέβαλον τὴν πόλιν. Ἀλλ' ὁ υἱός μου Ξέρξης, νέος ὤν, σκέπτεται ὡς νέος, καὶ ἐπιλανθάνεται τῶν ἐντολῶν μου. Διότι γνωρίσατε καλῶς, ἀγαπητοί μου συνομήλικες, ὅτι ἐκ πάντων ἡμῶν, οἵτινες πρὸ αὐτοῦ ἐκυβερνήσαμεν τὴν χώραν ταύτην οὐδεὶς ἐπήνεγκεν αὐτῇ τοσαῦτα κακά.

ΧΟΡΟΣ

τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;

ΔΑΡΕΙΟΣ

εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.

ΧΟΡΟΣ

πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;

ΔΑΡΕΙΟΣ

κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.

ΧΟΡΟΣ

ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.

ΔΑΡΕΙΟΣ

ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.

ΧΟΡΟΣ

πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;

ΔΑΡΕΙΟΣ

παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·

ΧΟΡΟΣ

Ἄναξ Δαρεῖε, τί λοιπὸν διὰ πάντων τούτων θέλεις νὰ συμπεράνῃς; Πῶς κατόπιν τῶν γενομένων δύναται νὰ εὐημερήσῃ ὁ Περσικὸς λαός;

ΔΑΡΕΙΟΣ

Ἐὰν δὲν ἐκστρατεύετε καθ' Ἑλληνικῶν τόπων ὅσον καὶ ἂν ἦνε πολυπληθέστερος ὁ τῶν Μήδων στρατός. Διότι καὶ αὐτὴ ἡ γῆ συμμαχεῖ μετ' αὐτῶν.

ΧΟΡΟΣ

Τί ἐννοεῖς διὰ τούτου; τίνι τρόπῳ συμμαχεῖ;

ΔΑΡΕΙΟΣ

Θανατόνουσα διὰ λιμοῦ τὸν ὑπέρπολυν τῶν ἐχθρῶν ἀριθμόν.

ΧΟΡΟΣ

Ἀλλὰ θὰ καταρτίσωμεν εὐσταλῆ καὶ ἐκλεκτὸν στρατόν.

ΔΑΡΕΙΟΣ

Ἀλλ' οὐδ' ὁ μείνας ἐν ταῖς Ἑλληνικαῖς χώραις θέλει σωθῇ καὶ ἐπανέλθει εἰς τὰ ἴδια (101).

ΧΟΡΟΣ

Πῶς εἶπας; ἅπας ὁ βαρβαρικὸς στρατὸς δὲν διῆλθε τὸν πορθμὸν τῆς Ἕλλης ἐξελθὼν τῆς Εὐρώπης;

ΔΑΡΕΙΟΣ

Ὀλίγοι ἐκ πολλῶν, ἐὰν πρέπῃ νὰ πιστεύσωμεν εἰς τὰς μαντείας τῶν Θεῶν, ἀποβλέψαντες εἰς τὰ μέχρι τοῦδε γενόμενα· διότι αὗται δὲν ἐκτελοῦνται κατὰ τοῦτο καὶ κατ' ἐκεῖνο μένουσιν ἀνεκτέλεστοι. Καὶ ἂν ταῦτα οὕτως ἔχωσιν ὁ υἱός μου εἰς ματαίας πεισθεὶς ἐλπίδας καταλείπει ἐν Ἑλλάδι ἐκλεκτὸν πλῆθος στρατοῦ. Μένουσι δ' οὗτοι ὅπου ὁ Ἀσωπὸς ἀρδεύει τὸ πεδίον διὰ τοῦ ῥείθρου του, ἀγαπητοῦ λιπάσματος τῆς Βοιωτικῆς γῆς· ἐκεῖ ἀναμένουσιν αὐτοὺς τὰ ὕψιστα τῶν κακῶν, πρὸς τιμωρίαν τῆς ὕβρεως καὶ τῆς ἀσεβοῦς

οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ἠδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
νεκρῶν δὲ θῖνες καὶ τρισπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρός ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένον
πινύσκετ' εὐλόγοισι νουθετήμασιν,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ' ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ' ὑπαντίαζε παιδί. παντὶ γὰρ
κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράϋνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,

αὐτῶν θρασύτητος· διότι οὗτοι μεταβάντες εἰς Ἑλλάδα δὲν ᾐσχύνθησαν οὐδ᾽ἐφοβήθησαν νὰ συλήσωσι τὰ ἀγάλματα τῶν Θεῶν, καὶ νὰ πυρπολήσωσι τοὺς ναούς των. Οἱ βωμοὶ κατεστράφησαν· τὰ ἱδρύματα τῶν Θεῶν ἐκ βάθρων φύρδην πρόρριζ᾽ἀνετράπησαν. Τοιαῦτα λοιπὸν κακὰ διαπράξαντες πάσχουν ἤδη ὄχι ὀλιγώτερα καὶ ἄλλα θέλουσι πάθει διότι ἡ πηγὴ τῶν κακῶν δὲν ἐστείρευσεν ἀλλ᾽ ἐξακολουθεῖ ἀναβρύουσα. Ἡ Δωρικὴ λόγχη θέλει ποτίσει τὴν γῆν τῶν Πλαταιῶν διὰ πυκνοῦ καὶ βορβορώδους αἵματος. Οἱ σωροὶ τῶν πτωμάτων καὶ μέχρι τρίτης γενεᾶς ἀφώνως εἰς τὰ ὄμματα θὰ λέγωσιν ὅτι ὁ θνητὸς δὲν πρέπει νὰ ὑπεραίρεται· διότι ἡ ὕβρις ἐξανθοῦσα βλαστάνει τὸν στάχυν τῆς δυστυχίας, ἐξ οὗ ἀποκομίζει θέρος δακρύων. Τοιαῦτα βλέποντες τῶν ἐγκλημάτων τὰ ἐπιτίμια μέμνησθε τῶν Ἀθηνῶν καὶ τῆς Ἑλλάδος. Μηδεὶς τοῦ λοιποῦ περιφρονήσας ἣν ἀπολαμβάνει εὐτυχίαν ἐρασθῇ ἄλλης ἵνα μὴ καταστρέψῃ τέλεον τὸν μέγαν αὐτοῦ ὄλβον. Ὁ Ζεὺς εἶνε αὐστηρὸς τιμωρὸς τῶν ἄγαν ὑπερκόμπων. Τούτου ἕνεκα διὰ τῶν ἐμβριθῶν ὑμῶν νουθεσιῶν διδάσκετε ἐκεῖνον, στερούμενον φρονήσεως, νὰ παύσῃ προσβάλλων τοὺς Θεοὺς διὰ τοῦ ὑπεροπτικοῦ του θράσους. Σὺ δὲ, ὦ γηραιά, ἀγαπητὴ τοῦ Ξέρξου μῆτερ, ἐπιστρέψασα εἰς τὸν οἶκόν σου λάβε εὐπρεπές τι ἔνδυμα καὶ ὕπαγε πρὸς συνάντησιν τοῦ υἱοῦ σου· διότι ἐκ τῆς ὑπερβολικῆς του λύπης κατεξέσχισε τὰ λαμπρὰ αὐτοῦ ἐνδύματα καταρρέοντα εἰς ῥάκη ἐκ τοῦ σώματός του. Ἀλλ᾽ αὐτὸν σὺ καταπράϋνον διὰ μειλιχίων λόγων· διότι ὡς γνωρίζω μόνην σὲ θέλει ἀνεχθῇ ν᾽ ἀκούσῃ. Ἐγὼ δ᾽ ἐπιστρέφω εἰς τὴν ζοφώδη μου κατοικίαν. Ὑμεῖς δ᾽, ὦ γέροντες, χαίρετε, ἀπολαύοντες τῶν καθ᾽ ἡμέραν τέρψεων, ἔστω καὶ ἐν καιρῷ δυστυχιῶν, διότι

ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟΡΟΣ

ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ᾽ ἔτι
ἤλγησ᾽ ἀκούσας βαρβάροισι πήματα.

ΑΤΟΣΣΑ

ὦ δαῖμον, ὥς με πόλλ᾽ εἰσέρχεται κακῶν
ἄλγη, μάλιστα δ᾽ ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ᾽ εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν παιδί μου πειράσομαι·
οὐ γὰρ τὰ φίλτατ᾽ ἐν κακοῖς προδώσομεν.

ΧΟΡΟΣ

Στρ. Α΄. Ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πο-
λισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,
εὖθ᾽ ὁ γηραιὸς
πανταρκὴς ἀκάκας ἄμαχος βασιλεὺς
ἰσόθεος Δαρεῖος ἆρχε χώρας.

Ἀντ. Α΄. πρῶτα μὲν εὐδοκίμους στρατιὰς ἀπε-
φαινόμεθ᾽ ἠδὲ νομίσματα πύργινα
πάντ᾽ ἐπηύθυνον.
νόστοι δ᾽ ἐκ πολέμων ἀπόνους ἀπαθεῖς
— υ υ εὖ πράσσοντας ἆγον οἴκους.

Στρ. Β΄. ὅσας δ᾽ εἷλε πόλεις πόρον οὐ δια-
βὰς Ἅλυος ποταμοῖο,
οὐδ᾽ ἀφ᾽ ἑστίας συθείς,
οἷαι Στρυμονίου πελάγους Ἀχε-
λωΐδες εἰσὶ πάροικοι
Θρηκίων ἐπαύλων,

ὁ πλοῦτος οὐδόλως τοὺς θανόντας ὠφελεῖ (102).

(Γίνεται ἀφανὴς ἐν μέσῳ ἀστραπῶν καὶ βροντῶν).

ΧΟΡΟΣ

Πόσον ἐλυπήθην ἀκούσας τὰ παρόντα καὶ μέλλοντα τῶν βαρβάρων δυστυχήματα!

ΑΤΟΣΣΑ

Ὦ τύχη! Ὑπὸ πόσων ἀνιαρῶν κατέχομαι θλίψεων καὶ ἰδίως ἡ παροῦσα συμφορὰ φοβερὰ μὲ λυπεῖ ἀκούουσαν ὅτι τὸ σῶμα τοῦ υἱοῦ μου περικαλύπτουν ἐξευτελιστικὰ ῥάκη. Ἀλλ' ὑπάγω καὶ λαβοῦσα ἐκ τῶν οἴκων εὐπρεπῆ ἐνδύματα θὰ προσπαθήσω νὰ τὸν προϋπαντήσω. Ὄχι· ἐν τῇ δυστυχίᾳ του δὲν θὰ ἐγκαταλείψω τὸ φίλτατον τέκνον μου. (ἀπέρχεται).

ΧΟΡΟΣ

Στρ. Α΄. Ὢ ναί! μακρᾶς, εὐτυχοῦς, εὐνόμου ζωῆς ἀπηλαύσαμεν ὅτε ὁ γηραιὸς, ἀγαθὸς, αὐτάρκης, ἀκαταμάχητος, ἰσόθεος βασιλεὺς Δαρεῖος ἦρχε τῆς χώρας (103).

Ἀντιστ. Α΄. Ἐν πρώτοις εὐδοκιμοῦμεν ἐν περιφανέσιν ἐκστρατείαις καὶ νόμοι ἀκράδαντοι τὰ πάντα διεῖπον. Ἐκ δὲ τῶν πολέμων ἐπεστρέφομεν οἴκαδε ἄπονοι, ἀπαθεῖς, νικηταί.

Στρ. Β΄. Ὁπόσας δὲ πόλεις ἐκυρίευσε χωρὶς νὰ διαβῇ τὸν πόρον τοῦ ποταμοῦ Ἅλυος (104) καὶ χωρὶς ν' ἀπομακρυνθῇ τῆς ἑστίας του! Ὁποῖαι αἱ Ἀχελωΐδες (105) τοῦ Στρυμονίου πελάγους, αἱ κείμεναι παρὰ τὰς Θρακικὰς ἐπαύλεις.

Ἀντιστρ. Β΄. λίμνας τ' ἔκτοθεν αἳ κατὰ χέρσον ἐ-
ληλάμεναι περὶ πύργον
τοῦδ' ἄνακτος ἄϊον,
Ἕλας τ' ἀμφὶ πόρον πλατὺν εὐχόμε-
ναι, μυχία τε Προποντὶς,
καὶ στόμωμα Πόντου·

Στρ. Γ΄· νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι,
τᾷδε γᾷ προσήμεναι,
οἵα Λέσβος, ἐλαιόφυτός τε Σά-
μος, Χίος, ἠδὲ Πάρος, Νάξος, Μύκο-
νος, Τήνῳ τε συνάπτουσ'
Ἄνδρος ἀγχιγείτων,

Ἀντιστρ. Γ΄. καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους,
Λῆμνον, Ἰκάρου θ' ἕδος,
καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πό-
λεις, Πάφον ἠδὲ Σόλους, Σαλαμῖνά τε,
τᾶς νῦν ματρόπολις τῶνδ'
αἰτία στεναγμῶν.

ΕΠΩιΔΟΣ

καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰ-
αόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτει σφετέραις φρεσίν.
ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν
τευχηστήρων
παμμείκτων τ' ἐπικούρων.
νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ'
αὖ φέρομεν πολέμοισι
δμαθέντες μεγάλως πλαγαῖσιν ποντίαισιν.

Ἀντ. Β'. Καὶ αἱ ἐκτὸς τῆς θαλάσσης (α) αἵτινες διὰ τειχῶν περιβαλλόμεναι, ὑπήκουον εἰς τὸν ἡμέτερον ἄνακτα, καὶ αἱ ἐν τῷ εὐρεῖ τῆς Ἕλλης πορθμῷ περιλαμβανόμεναι (106), καὶ ἡ κολπώδης Προποντίς, καὶ τὰ στόμια τοῦ Εὐξείνου (β).

Στρ. Γ'. Καὶ αἱ νῆσοι αἵτινες ὑπὸ τῆς θαλάσσης περιβρεχόμεναι κεῖνται πλησίον τῆς γῆς ταύτης εἰς τὰ πρὸς δυσμὰς παράλια αὐτῆς (107) ὡς ἡ Λέσβος καὶ ἡ ἐλαιόφυτος Σάμος, ἡ Χίος, ἡ Πάρος, ἡ Νάξος, ἡ Μύκονος καὶ ἡ γείτων τῆς Τήνου καὶ οἱονεὶ μετ' αὐτῆς συνηνωμένη Ἄνδρος!

Ἀντιστρ. Γ'. Προσέτι ἐξέτεινε τὸ κράτος του καὶ ἐπὶ τῶν ἐν μέσῃ θαλάσσῃ κειμένων, τῆς Λήμνου, τῆς Ἰκάρου, τῆς Ῥόδου, τῆς Κνίδου καὶ τῶν Κυπρίων πόλεων Πάφου, Σόλων καὶ Σαλαμῖνος, ἧς ἡ μητρόπολις εἶνε ἡ αἰτία τῶν σήμερον στεναγμῶν.

ΕΠΩιΔΟΣ

Προσέτι ἐδέσποζε διὰ τῆς φρονήσεώς του καὶ τῶν εἰς τὸν Ἰόνιον κλῆρον ὑπαγομένων εὐπόρων καὶ πολυάνδρων Ἑλληνικῶν πόλεων καὶ εἶχε παρ' αὐτῷ ἀνίκητον φρουρὰν ἐκ πολεμικῶν ἀνδρῶν καὶ παμμίκτων ἐπικούρων. Νῦν δ' ἀναμφιβόλως θεόθεν μετατραπείσης τῆς ἡμετέρας τύχης ὑποφέρομεν τὰ κακὰ ταῦτα, δαμασθέντες μεγάλως εἰς ἀτυχεῖς κατὰ θάλασσαν μάχας.

(α) Ἤτοι αἱ ἠπειρώτιδες.
(β) Ὁ Βόσπορος.

ΜΕΡΟΣ Ε΄.

ΞΕΡΞΗΣ

Ἰώ, δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
λέλυται γὰρ ἐμῶν γυίων ῥώμη
τήνδ' ἡλικίας ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

ΧΟΡΟΣ

ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης,
κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἐπέκειρεν.
γᾶ δ αἰάζει τὰν ἐγγαίαν
ἥβαν Ξέρξᾳ κταμέναν Ἅιδου
σάκτορι Περσᾶν. Ἀγδαβάται γὰρ
πολλοὶ φῶτες, χώρας ἄνθος,
τοξοδάμαντες, πάνυ ταρφύς τις
μυριὰς ἀνδρῶν, ἐξέφθινται·
αἰαῖ αἰαῖ κεδνᾶς ἀλκᾶς·
Ἀσία δὲ χθὼν, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

ΞΕΡΞΗΣ

Στρ. Α΄. ὅδ' ἐγὼν, οἰοῖ, αἰακτὸς
μέλεος γέννᾳ γᾷ τε πατρῴᾳ
κακὸν ἄρ' ἐγενόμαν.

ΜΕΡΟΣ Ε΄.

(*Ἐπιφαίνεται ὁ Ξέρξης ἐν οἰκτρᾷ καταστάσει περιβεβλημένος ῥάκη, περίλυπος, ἐξησθενημένος καὶ φέρων φαρέτραν ἄνευ βελῶν*).

ΞΕΡΞΗΣ

Οὐαί ! εἰς ποίαν ὁ δύστηνος περιέπεσα στυγερὰν καὶ ἀπροσδόκητον δυστυχίαν ! Πόσον σκληρὰ ἡ τύχη προσέβαλε τὸ Περσικὸν γένος ! Τί θὰ γίνω ὁ τάλας ; Παρέλυσαν αἱ δυνάμεις τοῦ σώματός μου ὡς εἶδον τοὺς γέροντας τούτους ἀστούς. Εἴθε, ὦ Ζεῦ ! νὰ ἐκάλυπτε καὶ ἐμὲ μετὰ τῶν ἀποθανόντων ἀνδρῶν ἡ μοῖρα τοῦ θανάτου.

ΧΟΡΟΣ

Φεῦ, φεῦ ! βασιλεῦ ! ἀπώλετο ὁ ἀνδρεῖος στρατὸς, ἡ μεγάλη τῆς Περσίας δόξα, τὸ σέμνωμα τῶν γενναίων ἀνδρῶν, οὓς νῦν ἡ μοῖρα ἐθέρισεν ! Ἡ πατρὶς θρηνεῖ τὴν ἰθαγενῆ νεολαίαν, ἣν ὁ Ξέρξης ἐθανάτωσε τροφοδοτήσας διὰ Περσῶν τὸν Ἅδην. Διότι μέγα πλῆθος ἀνδρῶν Ἀγβατάνων, τὸ ἄνθος τῆς Π ε ρ σ ι κ ῆ ς χώρας, περίφημοι τοξόται, μυριάδες μυριάδων πολεμιστῶν πάντες κατεστράφησαν. Φεῦ ! φεῦ ! πόσον ἀνδρεῖον πλῆθος εἰς μάτην ἀπώλετο ! Ἡ δὲ γῆ τῆς Ἀσίας, ὦ βασιλεῦ τῆς χώρας, φοβερά, φοβερὰ τὸ γόνυ ἔκλινε (*).

ΞΕΡΞΗΣ

Στρ. Α΄. Ἐγὼ φεῦ, ὁ δυστυχὴς εἶμαι οἰκτιρμοῦ ἄξιος, γεννηθεὶς πρὸς δυστυχίαν τῆς γενεᾶς μου καὶ τῆς γῆς τῶν πατέρων μου !

(*) *Καὶ σήμερον λέγομεν ἐ γ ο ν ά τ ι σ ε ν ἤτοι κατέπεσεν.*

ΧΟΡΟΣ

πρόσφθογγόν σοι νόστου τὰν
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος,
πέμψω πολύδακρυν ἰαχάν.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Α΄. ἵετ' αἰανῆ πάνδυρτον
δύσθροον αὐδάν. δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.

ΧΟΡΟΣ

ἥσω τοι τὰν πάνδυρτον,
λαοπαθῆ τε σέβων ἁλίτυπά τε βάρη,
πόλεως γέννας πενθητῆρος·
κλάγξω δ' ἀρίδακρυν ἀϋτάν.

ΞΕΡΞΗΣ

Στρ. Β΄. Ἰάων γὰρ ἀπηύρα,
Ἰάων ναύφαρκτος
Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.

ΧΟΡΟΣ

οἰοιοῖ (βόα) καὶ πάντ' ἐκπεύθου.
ποῦ δὲ φίλων ἄλλος ὄχλος,
ποῦ δέ σοι παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων καὶ Δατάμας,
Ψαμμισκάνης τ' ἠδ' Ἀγβάτας
Ἀγαβάτανα λιπών.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Β΄. ὀλοοὺς ἀπέλειπον
Τυρίας ἐκ ναὸς

ΧΟΡΟΣ

Ὡς χαιρετισμὸν ἐπὶ τῇ ἐπιστροφῇ σου θὰ σοὶ ἀποτείνω κακόφωνον βοήν, λυπηρᾶς μελῳδίας κραυγὴν Μαριανδυνοῦ θρηνητῆρος (108), θρηνῳδίαν πολύδακρυν.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Α΄. Ἐκπέμψατε ὀδυρμῶν καὶ θρήνων γοερὰν φωνήν! Διότι ἡ τύχη διττῶς κατ' ἐμοῦ ἐστράφη (109)

ΧΟΡΟΣ

Ναὶ πανόδυρτον θὰ ἐκπέμψω κραυγὴν κλαίων τὰς κατὰ γῆν καὶ θάλασσαν συμφορὰς τῆς ἀξιοθρηνήτου γενεᾶς τῆς πόλεως ταύτης. Πολύδακρυν θ' ἀναπέμψω γόον.

ΞΕΡΞΗΣ

Στρ. Β΄. Τῶν Ἰώνων ὁ Ἄρης, ὁ ναύφρακτος, ὁ ἑτεραλκὴς τῶν Ἰώνων Ἄρης τὸ πᾶν μᾶς ἀφήρεσε κατακείρας τὸν ἡμέτερον στρατὸν εἰς τὴν σκότιον θαλασσίαν πλάκα, εἰς τὴν ὀλεθρίαν ἀκτήν.

ΧΟΡΟΣ

Κραύγαξε φεῦ, φεῦ ! καὶ πληροφόρει περὶ πάντων. Ποῦ τὸ ἄλλο τῶν φίλων πλῆθος ; ποῦ οἱ ὑπασπισταί σου ; ὁ Φαρανδάκης, ὁ Σούσας, ὁ Πελάγων, ὁ Δατάμας, ὁ Ψαμμισκάνης, καὶ ὁ τὰ Ἐκβάτανα καταλιπὼν Ἀγβάτης ;

ΞΕΡΞΗΣ

Ἀντιστρ. Β΄. Κατακρημνισθέντας ἐκ Τυρίας νεὼς

ἔρροντας ἐπ' ἄκραις
Σαλαμινιάσι, στυφελοῦ
θείνοντας ἐπ' ἀκτᾶς.

ΧΟΡΟΣ

οἰοιοῖ, ποῦ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθὸς,
ποῦ δὲ Σευάκης ἄναξ,
ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις καὶ Μασίστρας
Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας ;
τάδε σ' ἐπανερόμαν.

ΞΕΡΞΗΣ

Στρ. Γ'. ἰὼ ἰώ μοι,
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθήνας πάντες ἑνὶ πιτύλῳ,
ἐὴ ἐή, τλάμονες ἀσπαίρουσι χέρσῳ.

ΧΟΡΟΣ

ἦ καὶ τὸν Περσᾶν αὐτοῦ
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μύρια μύρια πεμπαστὰν
Βατανώχου παῖδ' Ἄλπιστον . . . .
τὸν Σεισάμα τοῦ Μεγαβάτα,
Πάρθον τε μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες, ὢ ὢ (ὢ) δᾴων,
Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγειν ;

ΞΕΡΞΗΣ

Ἀντιστ. Γ'.—ἴυγγά μοι δῆτ'
ἐσθλῶν ἑτάρων ὑπορίνεις.
ἄλαστ' (ἄλαστα) στυγνὰ πρόκακα λέγειν.
βοᾷ βοᾷ (μοι) μελέων ἔντοσθεν ἦτορ.

κατέλιπον αὐτοὺς νεκροὺς εἰς τὰς ἀκτὰς τῆς Σαλαμῖνος ὅπου σήπονται πλήττοντες τοὺς τραχεῖς βράχους.

ΧΟΡΟΣ

Φεῦ, φεῦ, ποῦ ὁ Φαρνοῦχος, ποῦ ὁ ἀνδρεῖος Ἀριόμαρδος ; Ποῦ ὁ ἄναξ Σευάλκης καὶ ὁ εὐπατρίδης Λίλαιος ; ποῦ ὁ Μέμφις, ὁ Θάρυβις καὶ Μασίστρας καὶ Ἀρτεμβάρης καὶ ὁ Ὑσταίχμας ; ἀπάντησον εἰς τὴν ἐρώτησίν μου.

ΞΕΡΞΗΣ

Στρ. Γ΄. Φεῦ ! φεῦ ! μόλις εἶδον τὰς φρικτὰς Ὠγυγίους (110), Ἀθήνας πάντες μιᾷ πληγῇ πεσόντες ἒ, ἒ, οἱ δυστυχεῖς ἐπὶ τῆς ἀκτῆς ἀσπαίρουσι.

ΧΟΡΟΣ

Στρ. Γ΄. Αὐτοῦ ἆρα καὶ τὸν κατὰ πάντα πιστόν σου ὀφθαλμὸν (*), ὅστις ἠρίθμει τὰς μυριάδας τοῦ στρατοῦ σου, τὸν υἱὸν τοῦ Βατανώχου Ἄλπιστον, καὶ τοὺς υἱοὺς τοῦ Σησάμα καὶ Μεγαβάτα, τὸν Πάρθον καὶ τὸν μεγαλόσωμον Οἰβάρην καὶ τούτους αὐτοῦ κατέλιπες ; φεῦ, φεῦ ! τοὺς ἀθλίους. Μέγιστα κακὰ εἰς τοὺς ἐνδόξους ἀναγγέλλεις Πέρσας.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Γ΄. Ἀνακαλεῖς εἰς τὴν μνήμην μου γενναίους καὶ ἀγαθοὺς φίλους ἀναφέρων στυγερά, ἀλησμόνητα, ὑπέρτερα κακῶν κακά. Βοᾷ βοᾷ εἰς τὰ στήθη ἡ καρδία μου.

(*) Βασιλέως ὀφθαλμοὶ ἐλέγοντο παρὰ Πάρσαις οἱ ἔφοροι τῶν διαφόρων κλάδων τῆς διοικητικῆς ὑπηρεσίας.

ΧΟΡΟΣ

καὶ μὴν ἄλλους γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριοταγὸν
Ξάνθιν ἄρειόν τ' Ἀγχάρην,
Διάϊξίν τ' ἠδ' Ἀρσάμην
ἱππιάνακτας.
Κηγδαδάταν καὶ Λυθίμναν
Τόλμον τ' αἰχμᾶς ἀκόρεστον.
ἔταφον ἔταφον, οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι.

ΞΕΡΞΗΣ

βεβᾶσι γὰρ τοίπερ ἀκρῶται στρατοῦ,
βεβᾶσιν, οἳ νώνυμοι, ἰὴ ἰή, ἰὼ ἰώ.

ΧΟΡΟΣ

ἰὼ ἰώ, δαιμόνων
θέντων ἄελπτον κακόν
ζαπρέπον οἷον δέδορκεν Ἄτα.

ΞΕΡΞΗΣ

πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι,

ΧΟΡΟΣ

πεπλήγμεθ'· εὔδηλα γάρ,

ΞΕΡΞΗΣ

νέα νέα δύα δύα.

ΧΟΡΟΣ

Ἰαόνων ναυβατᾶν
κύρσαντες οὐκ εὐτυχῶς.
δυσπόλεμον δὴ γένος τὸ Περσᾶν.

ΞΕΡΞΗΣ (*)

Στρ. Β'. πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον τάλας
πέπληγμαι.

(*) Ἐντεῦθεν ἄρχεται ἡ ὑπὸ τοῦ Κοίχλυ γενομένη ἀντικατάστασις περὶ ἧς ὅρα ἐν τέλει τοῦ δράματος.

ΧΟΡΟΣ

Καὶ ἄλλους προσέτι θρηνοῦμεν, τὸν μυριόνταρχον τῶν Μάρδων Ξάνθην, τὸν ἀρειμάνιον Ἀγχάρην, τοὺς ἡγεμόνας τοῦ ἱππικοῦ Διαΐξιν καὶ Ἀρσάμην, τὸν Κιγδαγάτην καὶ Λυθίμνην καὶ τὸν ἀκόρεστον μάχης Τόλμον. Φεῦ, φεῦ! Ἐτάφησαν οἱ δύστηνοι, οὐχὶ φερόμενοι ἐπὶ τροχηλάτων ἁρμάτων, ἐτάφησαν ἄνευ συνοδίας.

ΞΕΡΞΗΣ

Στρ. Α'. Ἀπώλοντο φεῦ, οἱ τοῦ στρατοῦ ἀρχηγοὶ, ἀδόξως φεῦ! ἀπώλοντο· ἰὴ, ἰὴ, ἰὼ, ἰώ.

ΧΟΡΟΣ

Φεῦ, φεῦ! ἀπροσδόκητον οἱ θεοὶ ἔπεμψαν κακὸν, περιφανὲς, ὁποῖον οὐδέποτε ἡ δυστυχία εἶδεν.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Α'. Ἐπλήγημεν ὑπὸ ἀνεπανορθώτου συμφορᾶς!

ΧΟΡΟΣ

Ἐπλήγημεν. Εἶνε κατάδηλον.

ΞΕΡΞΗΣ

Ἀνήκουστα, ἀνήκουστα δυστυχήματα!

ΧΟΡΟΣ

Συμπλακέντες ἀτυχῶς μετὰ Ἰώνων ναυβατῶν ἡττήθημεν. Δυστυχὲς ἐν πολέμοις τὸ Περσικὸν γένος!

ΞΕΡΞΗΣ

Στρ. Β'. Πῶς ὄχι, ἀφοῦ ὁ τάλας μετὰ τοσούτου κατεστράφην στρατοῦ;

ΧΟΡΟΣ

τὶ δ' οὐκ ὄλωλεν μεγάλα τὰ Περσᾶν;

ΞΕΡΞΗΣ

ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;

ΧΟΡΟΣ

ὁρῶ ὁρῶ.

ΞΕΡΞΗΣ

τάνδε τ' ὀϊστοδέγμονα;

ΧΟΡΟΣ

τί τόδε λέγεις σεσωσμένον;

ΞΕΡΞΗΣ

θησαυρὸν βελέεσσιν.

ΧΟΡΟΣ

βαιά γ' ὡς ἀπὸ πολλῶν.

ΞΕΡΞΗΣ

ἐσπανίσμεθ' ἀρωγῶν.

ΧΟΡΟΣ

Ἰάνων λαὸς οὐ φυγαίχμας.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Β'. ἀγανόρειος· κατεῖδον δὲ πῆμ' ἄελπτον.

ΧΟΡΟΣ

τραπέντα ναύφαρκτον ἐρεῖς ὅμιλον;

ΞΕΡΞΗΣ

πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ·

ΧΟΡΟΣ

παπαῖ παπαῖ.

ΞΕΡΞΗΣ

καὶ πλέον ἢ παπαῖ μὲν οὖν.

ΧΟΡΟΣ

Λοιπὸν, κατέπεσε τὸ Περσικὸν μεγαλεῖον ;

ΞΕΡΞΗΣ

Βλέπεις τὸ ἐκ τῆς στολῆς μου ὑπολειφθέν ; (111).

ΧΟΡΟΣ

Τὸ βλέπω, τὸ βλέπω.

ΞΕΡΞΗΣ

Καὶ τὴν βελοθήκην ταύτην ;

ΧΟΡΟΣ

Τί, τοῦτο μόνον ἔσωσας ;

ΞΕΡΞΗΣ

Ναὶ, τὸν θησαυρὸν τῶν βελῶν μου.

ΧΟΡΟΣ

Ἐκ πολλῶν ἐλάχιστα.

ΞΕΡΞΗΣ

Ἀπώλεσα τοὺς μαχητάς μου (112).

ΧΟΡΟΣ

Ὁ λαὸς τῶν Ἰώνων δὲν φυγομαχεῖ ;

ΞΕΡΞΗΣ

Ἀντιστρ. Β΄. Τοὐναντίον εἶνε ἀνδρεῖος. Εἶδον ἀνέλπιστον συμφοράν . . .

ΧΟΡΟΣ

Θέλεις νὰ εἴπῃς τὴν τροπὴν τῆς ναυτικῆς μας δυνάμεως ;

ΞΕΡΞΗΣ

Διέρρηξα τὰ ἐνδύματά μου ἐπὶ τοσοῦτον μεγάλῳ δυστυχήματι.

ΧΟΡΟΣ

Ἀλοίμονον, ἀλοίμονον !

ΞΕΡΞΗΣ

Καὶ πλέον ἢ ἀλοίμονον !

ΧΟΡΟΣ

δίδυμα γὰρ ἐστι καὶ τριπλᾶ.

ΞΕΡΞΗΣ

λυπρὰ, χάρματα δ᾽ ἐχθροῖς·

ΧΟΡΟΣ

καὶ σθένος γ᾽ ἐκολούσθη.

ΞΕΡΞΗΣ

γυμνός εἰμι προπομπῶν.

ΧΟΡΟΣ

φίλων ἄταισι ποντίαισιν.

ΞΕΡΞΗΣ

Στρ. Γ΄. αἴαζ᾽, αἴαζε πῆμα. πρὸς δόμους δ᾽ ἴθι.

ΧΟΡΟΣ

αἰαῖ αἰαῖ, δύα δύα.

ΞΕΡΞΗΣ

βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ

δόσιν κακὰν κακῶν κακοῖς.

ΞΕΡΞΗΣ

ἴϋζ᾽ ὁμοῦ τιθεὶς μέλος.

ΧΟΡΟΣ

ὀτοτοτοτοῖ.
βαρεῖά γ᾽ ἅδε συμφορά
οἳ μάλα καὶ τόδ᾽ ἀλγῶ.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Γ΄. ἔρεσσ᾽ ἔρεσσε καὶ στέναζ᾽ ἐμὴν χάριν.

ΧΟΡΟΣ

διαίνομαι γοεδνὸς ὤν.

ΧΟΡΟΣ

Τὰ κακὰ εἶνε διπλᾶ καὶ τριπλᾶ.

ΞΕΡΞΗΣ

Λυπηρὰ εἰς ἡμᾶς, χαρμόσυνα εἰς τοὺς ἡμετέρους ἐχθρούς.

ΧΟΡΟΣ

Συνετρίβη ἡ ἰσχύς μας.

ΞΕΡΞΗΣ

Ἐστερήθην τῶν σωματοφυλάκων μου.

ΧΟΡΟΣ

Καὶ τῶν φίλων σου ἐν τῷ θαλασσίῳ ἀτυχήματι.

ΞΕΡΞΗΣ

Στρ. Γ΄. Κλαῖε, κλαῖε τὸ δυστύχημα καὶ ἄπελθε οἴκαδε.

ΧΟΡΟΣ

Φεῦ, φεῦ ! δυστυχία, δυστυχία !

ΞΕΡΞΗΣ

Ἐπαναλάμβανε τοὺς ὀλοφυρμούς μου.

ΧΟΡΟΣ

Κακὴ ἡ ἐκ τούτων ἀνακούφισις εἰς τὰς ἐσχάτας δυστυχίας.

ΞΕΡΞΗΣ

Ψάλλε μετ᾽ ἐμοῦ τῆς ὀδύνης τὸ μέλος.

ΧΟΡΟΣ

Φεῦ, φεῦ, φεῦ ! Ἡ συμφορά μας εἶνε βαρεῖα. Πολὺ διὰ ταύτην θλίβομαι.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Γ΄. Κτύπα, κτύπα τὸ στῆθος καὶ στέναξε χάριν μου.

ΧΟΡΟΣ

Κλαίω καὶ ὀδύρομαι.

ΞΕΡΞΗΣ

βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ

μέλειν πάρεστι, δέσποτα.

ΞΕΡΞΗΣ

ἐπορθίαξέ νυν γόοις.

ΧΟΡΟΣ

ὀτοτοτοτοῖ.
μέλαινα δ' αὖ μεμίξεται,
οἶ, στονόεσσα πλαγά.

ΞΕΡΞΗΣ

Στρ. Δ'. καὶ στέρν' ἄρασσε κἀπιβόα τὸ Μύσιον.

ΧΟΡΟΣ

ἄνι' ἄνια.

ΞΕΡΞΗΣ

καί μοι γενείου πέρθε λευκήρη τρίχα.

ΧΟΡΟΣ

ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.

ΞΕΡΞΗΣ

ἀΰτει δ' ὀξύ.

ΧΟΡΟΣ

καὶ τόδ' ἔρξω.

ΞΕΡΞΗΣ

'Αντιστρ. Δ'. πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.

ΧΟΡΟΣ

ἄνι' ἄνια.

ΞΕΡΞΗΣ

καὶ ψάλλ' ἔθειραν καὶ κατοίκτιξε στρατόν.

ΧΟΡΟΣ

ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.

ΞΕΡΞΗΣ

Βόα ὡς ἐγὼ γοερὰς κραυγάς.

ΧΟΡΟΣ

Τοῦτο πράττω, δέσποτα.

ΞΕΡΞΗΣ

Ἔντεινε τοὺς γόους σου.

ΧΟΡΟΣ

Φεῦ! φεῦ! φεῦ! Θέλω ἀναμίξει μετὰ τῶν στόνων καὶ μέλαιναν πληγήν.

ΞΕΡΞΗΣ

Στρ. Δ'. Καὶ κτύπα τὸ στῆθος καὶ ἐπιβόα τὸ Μύσιον (113).

ΧΟΡΟΣ

Λυπηρὰ, λυπηρὰ, λυπηρά.

ΞΕΡΞΗΣ

Ἀνάσπασον χάριν μου τὰς λευκὰς τοῦ γενείου σου τρίχας.

ΧΟΡΟΣ

Ἀνασπῶ αὐτάς, ἀνασπῶ γοερῶς θρηνῶν.

ΞΕΡΞΗΣ

Ἔκβαλλε ὀξείας κραυγάς.

ΧΟΡΟΣ

Καὶ τοῦτο θὰ πράξω.

ΞΕΡΞΗΣ

Ἀντιστρ. Δ'. Διάρρηξον τὸν κολπώδη πέπλον διὰ πάσης τῆς δυνάμεως τῶν χειρῶν σου. (114)

ΧΟΡΟΣ

Λυπηρὰ, λυπηρά.

ΞΕΡΞΗΣ

Καὶ τίλλε τὴν κόμην καὶ οἴκτειρε τὸν στρατόν.

ΧΟΡΟΣ

Ἀνασπῶ, ἀνασπῶ αὐτήν· γοερῶς θρηνῶν.

ΞΕΡΞΗΣ

διαίνου δ' ὄσσε.

ΧΟΡΟΣ

τέγγομαί τοι.

ΞΕΡΞΗΣ

Ἐπῳδ. βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ

οἰοῖ οἰοῖ.

ΞΕΡΞΗΣ

αἰακτὸς ἐς δόμους κίε.

ΧΟΡΟΣ

(αἰαῖ αἰαῖ.) ἰὼ Περσὶς αἶα· ἰὼ δυσβάϋκτος.

ΞΕΡΞΗΣ

ἰωὰ δὴ κατ' ἄστυ.

ΧΟΡΟΣ

ἰωὰ δῆτα, ναὶ, ναί.

ΞΕΡΞΗΣ

γοᾶσθ' ἁβροβάται.

ΧΟΡΟΣ

ἰὼ Περσὶς αἶα. ἰὼ δυσβάϋκτος.

ΞΕΡΞΗΣ

ἠὴ ἠὴ, τρισκάλμοισι ἠὴ, ἠὴ, βάρισι φθιτοί.

ΧΟΡΟΣ

πέμψω τοί σε δυσθρόοις γόοις.

ΞΕΡΞΗΣ

Βρέχε μὲ δάκρυα τοὺς ὀφθαλμούς σου!

ΧΟΡΟΣ

Ἰδοὺ καταβρέχω αὐτούς.

ΞΕΡΞΗΣ

Ἐπῳδ. Ἐπαναλάμβανε τοὺς γόους μου.

ΧΟΡΟΣ

Φεῦ, φεῦ, φεῦ!

ΞΕΡΞΗΣ

Πορεύθητι εἰς τὸν οἶκόν σου κλαίων.

ΧΟΡΟΣ

Φεῦ! γεῦ! γῆ τῶν Περσῶν πόσον εἶσαι ἀξιοθρήνητος! (115)

ΞΕΡΞΗΣ

Ἀλοίμονον εἰς τὸ ἄστυ.

ΧΟΡΟΣ

Ναί, ναί, ἀλοίμονον.

ΞΕΡΞΗΣ

Θρηνεῖτε ἁβρῶς βαδίζοντες. (116)

ΧΟΡΟΣ

Φεῦ, φεῦ! γῆ τῶν Περσῶν πόσον εἶσαι ἀξιοθρήνητος!

ΞΕΡΞΗΣ

Φεῦ, φεῦ, φεῦ! διὰ τῶν τρισκάλμων φεῦ, φεῦ, ἀπώλοντο πλοίων!

ΧΟΡΟΣ

Θὰ σὲ προπέμψω μετὰ γοερῶν θρήνων. (117)

Εἴχομεν ἤδη παραδώσει εἰς τὸ τυπογραφεῖον τὴν παροῦσαν μετάφρασιν ὅτε ἐμάθομεν ὅτι ὁ σεβαστὸς ἡμῶν φίλος κ. Ἀλ. Ρ. Ῥαγκαβῆς μεταφράσας ἐμμέτρως καὶ ἐκδοὺς πρὸ ἡμῶν τὸ παρὸν δρᾶμα, προσέθηκεν ἐν τέλει, ἐπίσης μεταφράσας ἐμμέτρως, καὶ τὴν εἰς τοὺς τελευταίους στίχους τοῦ δράματος τούτου ἐπενεχθεῖσαν τροποποίησιν τοῦ Γερμανοῦ καθηγητοῦ Κοίχλυ. Τὴν τροποποίησιν ἢ μᾶλλον ἀντικατάστασιν τούτων τὴν ἰδίως χάριν τῆς μουσικῆς γενομένην παραλαβόντες καὶ ἡμεῖς κατὰ τὴν γλαφυρὰν τοῦ κ. Ῥαγκαβῆ μετάφρασιν πεποίθαμεν ὅτι θέλομεν τύχει καὶ τῆς εὐμενοῦς συναινέσεως τοῦ μεταφραστοῦ καὶ τῆς ἐπιδοκιμασίας τῶν ἡμετέρων ἀναγνωστῶν. Καὶ κατὰ πόσον μὲν ἡ ἀντικατάστασις αὕτη συμβάλλει εἰς τὴν τεχνικωτέραν καὶ φυσικωτέραν τοῦ δράματος λύσιν κρινέτωσαν ἕτεροι. Οὐχ ἧττον δὲν δυνάμεθα ν' ἀρνηθῶμεν ὅτι διὰ ταύτης ἂν δὲν ὠφελήθη ἡ ποίησις δὲν ἐζημιώθη ἡ μουσική.

Τὸ τεμάχιον τοῦτο ἐποιήθη εἰς τὴν ἀρχαίαν ἑλληνικὴν καὶ ἐκ ταύτης μεταφρασθὲν εἰς τὴν Γερμανικὴν ἐμελοποιήθη ὑπὸ τῆς Α. Ὑψ. τοῦ φιλομουσοτάτου πρίγκιπος τοῦ Σὰξ Μαϊνίγγεν, εἰς ὃν ὀφείλομεν καὶ τὴν εἰς τὴν ἡμετέραν γλῶσσαν γλαφυρὰν μετάφρασιν τῆς Συνωμοσίας τοῦ Φιέσκου, τραγῳδίας τοῦ Σίλλερ. Ἡ ἐν λόγῳ ἀντικατάστασις ἄρχεται ἀπὸ τοῦ στίχ. 1015 ἤτοι ἐκ τῶν λέξεων τοῦ Ξέρξου «Πῶς δ' οὔ; κτλ.»

ΞΕΡΞΗΣ

Κλαίετε, κ' ἕπεσθέ μοι εἰς τ' Ἀνάκτορα — Ἐπῳδὸς

ΧΟΡΟΣ

Τὰ δάκρυα προρρέουσι.
Βαρέως πάσχεις, ὦ Περσία.

ΞΕΡΞΗΣ

Θρηνῶν παρέπου εἰς τὸν οἶκον.

ΧΟΡΟΣ

Παρέπομαι μετὰ κλαυθμῶν καὶ οἰμωγῶν.

(Ἡ βασιλὶς πλησιάζει ν' ἀσπασθῇ τὸν υἱόν).

ΑΤΟΣΣΑ (μετὰ λαμπρᾶς συνοδίας)

Χαῖρε Βασιλεῦ παντάναξ, χαῖρε φίλτατε υἱὲ,
τοῖς Θεοῖς εὐγνώμων ὅτι ἀπὸ φόνων καὶ δεινῶν
εἰς πατρίδα καὶ εἰς φίλους κ' εἰς τοὺς οἴκους τοῦ πατρὸς
βλέποντα τὸ φῶς καὶ ζῶντα πάλιν σ' ἐπανέφερον.
Δοῦλοι, ἄρατε τὰς πύλας. Ὁ δεσπότης ἔφθασε·
Πορφυροβαφῆ τὸν δρόμον στρώσατε θεράπαιναι.
Ἄνδρες, γέροντες, γυναῖκες, παῖδες, προσκυνήσατε·
Ἄρχεσθε τῆς ὑμνῳδίας· ὁ Βαλὴν εἰσέρχεται.
Ὡς λαμπρὰ προκύπτ' ἡμέρα ἀπὸ μελανῆς νυκτός·
εἰς λαὸν ἐν θλίψει λάμπει Ἄνακτος ἐπιστροφή.

ΞΕΡΞΗΣ

Ὄχι, ὦ ἁγνή μου μῆτερ· τί συνέβη ἀγνοεῖς.

ΑΤΟΣΣΑ

Καὶ τὸ τί συνέβ' ἠξεύρω καὶ τὸ τί συμβήσεται.

ΞΕΡΞΗΣ

Πῶς ἀπώλεσα ἠξεύρεις ἄνδρας, στόλον καὶ τιμήν ;
Ἵππους, στρατιώτας, πλοῖα, ἅρματα, τὸ πᾶν ; Κ' ἐγώ —
Βλέπεις τί τὸ ἔνδυμά μου ! βλέπεις τὰ λωρία του.

ΑΤΟΣΣΑ

Οὐδὲ ταῦτα μὲ λανθάνουν. Ἰδού, λάβε τὴν στολήν.
Κρύψον ὑπὸ τὴν πορφύραν τὸ οἰκτρόν σου ἔνδυμα.
Λάβε τὴν τιάραν, λάβε σκῆπτρον εἰς τὴν χεῖρά σου.

ΞΕΡΞΗΣ

Τί μοι λέγεις μῆτερ ; Μήπως εἶμαι πλέον Βασιλεύς ;
Βασιλεὺς λαὸν μὴ ἔχων, Βασιλεὺς χωρὶς στρατοῦ !

ΑΤΟΣΣΑ

Ἂν, Θεῶν θελόντων, Ἄναξ, πολὺν ὤλεσας στρατὸν,
ἀλλ' ἡ γῆ δὲν ἀπωλέσθη, μένει ἔτι ὁ λαὸς,
τοῖς Θεοῖς ἐὰν ἀκούων πειθαρχῇς τοῖς λόγοις των.
Ἂν δ' ἀβούλως εἰς γῆν ξένην τὸν στρατὸν ὡδήγησας,
ἣν τοῦ σοῦ ζυγοῦ ποθοῦσιν ἐλευθέραν οἱ Θεοὶ,
ἀπειπὼν τὴν ὕβριν, ἕξεις εὐμενὲς τὸ θεῖόν σοι.
Μένουσι τῆς γῆς οἱ ὅροι, μένει καὶ τὸ κράτος σου,
κ' οἱ ὑπήκοοί σου πάντες πειθαρχοῦσιν ὡς τὸ πρίν.
Ἄκριτα, ἀληθῆ λέγω ; Μαρτυρήσατε ὑμεῖς,
πρόκριτοι, γηραιοὶ Πέρσαι, τῶν πιστῶν οἱ ἄριστοι.
Λέγετε, παρηγορεῖτε τὸν δεσπότην ὅπως δεῖ.

ΗΓΕΜΩΝ (*τοῦ χοροῦ*)

Ἀληθῆ ὅσα λέγει εἰσὶ, Βασιλεῦ,
ἡ τεκοῦσά σε μήτηρ, Δαρείου υἱέ·
δι' ὃ παύου δακρύων καὶ γόων πικρῶν
καὶ δὸς πρόφρον τὸ οὖς
εἰς αὐτὰς τὰς πιστὰς συμβουλάς μας.

ΧΟΡΟΣ

Γαῦρος στρατὸς καὶ οἷος οὐδεὶς *Ἔξοδος. Α.*
ὡπλίσθη προτοῦ, ἂν ἐξέλιπε πᾶς,
ἀνεξάντλητος πλήν,
ὡς τὰ φύλλα τὸ ἔαρ,
αἰώνιος τρέφ' ἡ ἰκμὰς τοῦ λαοῦ,
νέον ἄλλο παράγουσα γένος.
Καὶ ὡς ὁ Δαρεῖος ἐὰν οἰκουρῇς,
θ' αὐξήσῃς τοῦ κράτους ὄλβον κ' ἰσχὺν,
καλῶς καὶ ἐν εἰρήνῃ θ' ἄρχῃς τῆς γῆς
ἣν σ' ἀφῆκαν οἱ πρόγονοι κλῆρον.
Ἐν ἀγάπῃ καὶ πίστει πρὸς σὲ ὁ λαὸς

θ᾽ ἀμύνητ᾽ ἐχθρόν, ὅστις, ὅθεν ἂν ᾖ,
ἐπειδὴ ἀπ᾽ ἀρχῆς μέχρι τέλους τῶν χρόνων
αὐτὸς παρὰ Πέρσαις κρατεῖ ὁ Θεσμός :
Βασιλεὺς καὶ λαὸς ὅτι ἓν εἰσί.

Καθ᾽ ἡμᾶς ἡ ἀντικατάστασις αὕτη πρὸς τεχνικωτέραν δῆθεν λύσιν τοῦ δράματος ὁμοιάζει τὴν ἐν τῇ Ἀκροπόλει γενομένην ἀντικατάστασιν τῆς συληθείσης Καρυάτιδος, διὰ νέας εἰς ἣν μάτην ἀναζητεῖ τις τὸν ἀρχαῖον τεχνίτην. Ὠχρὰ μίμησις τοῦ Αἰσχυλείου ὕφους, ἰδέαι ὅλως ἀντιφάσκουσαι πρὸς τὰ πρότερον ὑπὸ τῶν αὐτῶν προσώπων τοῦ δράματος ῥηθέντα, στίχοι οἵτινες δύνανται μὲν νὰ ἠχῶσι καλῶς ὑπὸ τῆς μουσικῆς συνοδευόμενοι, ἀλλ᾽ ἄμοιροι θερμότητος καὶ ζωηρότητος αἰσθήματος, τέλος λύσις ἀπηλλαγμένη μὲν τῶν ἀδιακόπων θρηνητικῶν ἐπιφωνημάτων τοῦ κειμένου, ἀλλὰ λύσις Κοίχλησς, ἀλλ᾽ οὐχὶ Αἰσχύλειος. Ὁ Αἰσχύλος ἐνόει νὰ τελειώσῃ τὸ δρᾶμά του ἐν μέσῳ τῶν γόων καὶ ὀλοφυρμῶν τῶν ἡττηθέντων Περσῶν χοροστατοῦντος τοῦ ἐπηρμένου αὐτῶν ἄνακτος ὃν παρουσιάζει ἐπὶ τῆς σκηνῆς ῥακένδυτον, ἄοπλον, ἐλεεινὸν καὶ τεταπεινωμένον, θρηνοῦντα τὴν δυστυχίαν διὰ σπαρακτικῶν ἐπιφωνημάτων διεγειρόντων τὴν χαρὰν καὶ ἀγαλλίασιν τοῦ ἐκ Σαλαμινομάχων συνισταμένου ἀκροατηρίου εἰς ὃ βεβαίως θὰ συμπεριελαμβάνετο καὶ ὁ τὴν ἀθάνατον πορίσας τοῖς Ἕλλησι νίκην μεγαλοφυὴς στρατηγὸς τῶν Ἀθηναίων Θεμιστοκλῆς καὶ ὁ τῆς Ψυτταλείας ἥρως Ἀριστείδης

ΣΗΜΕΙΩΣΕΙΣ

(1) *Κατὰ τὸν* Weil *εἶνε ἀμφίβολον ἂν ὁ Αἰσχύλος ἐγίνωσκε τὸ ὄνομα τῆς βασιλομήτορος ἀφοῦ τοῦτο ἐν οὐδενὶ τῶν στίχων τοῦ δράματος ὑπάρχει. Φρονοῦμεν ὅτι ἡ ἀμφιβολία αὕτη εἶνε ἥκιστα βάσιμος, καθότι ὁπωςδήποτε τὸ πρόσωπον τῆς βασιλομήτορος δὲν ἠδύνατο νὰ τεθῇ ἐν τῷ δράματι ἀνωνύμως ἢ ὑπὸ ἕτερον ὄνομα ἀφοῦ μάλιστα εἶνε πρόσωπον πρωταγωνιστοῦ. Ἄλλως ὡς ἀποδεικνύεται ἐκ παντὸς μὲν τοῦ δράματος καὶ ἰδίως ἐκ τῶν στίχων* 735 —772 *ὁ ποιητὴς ἐγίνωσκεν ἀρκούντως τὴν Περσικὴν ἱστορίαν καὶ γενεαλογίαν τῶν Περσῶν βασιλέων. Ἐκτὸς τούτου τὸ πρόσωπον τῆς Ἀτόσσης, θυγατρὸς τοῦ ὑποτάξαντος τὴν Ἰωνίαν μεγάλου Κύρου, συζύγου ἀλληλοδιαδόχως τριῶν βασιλέων, τοῦ ἀδελφοῦ της Καμβύσου, τοῦ Σμέρδιος καὶ τελευταῖον τοῦ Δαρείου, τὰ μέγιστα, ὡς ἀναφέρει ὁ Ἡρόδοτος* (VII—3) *ἰσχυούσης ἐν τοῖς ἀνακτόροις καὶ ἐκ διαφόρων περιστάσεων γνωρισθείσης μετὰ πολλῶν Ἑλλήνων ἰατρῶν καὶ προσφύγων δὲν ἦτο δυνατὸν νὰ διατελῇ ἄγνωστον εἰς τὸν Αἰσχύλον ὅστις ἄλλως καὶ ὡς ἐκ τοῦ θέματος ὅπερ ὤφειλε νὰ δραματοποιήσῃ ὑπεχρεοῦτο νὰ ἐξετάσῃ καὶ μελετήσῃ ἐπισταμένως τὰ τῆς βασιλικῆς οἰκογενείας τῶν Περσῶν.*

(2) *Ἐν τῷ κειμένῳ* πιστὰ *καὶ ἐν στίχῳ* 171 *γηραλέα πιστώματα καὶ ἐν στίχῳ* 686, ὦ πιστὰ πιστῶν. *Οἱ μὲν θεωροῦν ἐξυπακουόμενον τὸ* πρόσωπα, *ἄλλοι ὅτι ἐχρήσατο οὐδετέρῳ γένει διότι οἱ λαλοῦντες ἦσαν εὐνοῦχοι, ὡς τοῦτο ἔπραξε πρὸ τοῦ Αἰσχύλου καὶ ὁ Φρύνιχος εἰπὼν*

«Τάδ' *ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων*».

Καὶ ὁ Σοφοκλ. ἐν Ἀντιγ. στίχ. 335 *ἀντὶ οὗτος* (*ὁ ἄνθρωπος*) *χρῆται τῇ δηκτ. ἀντων. τοῦτο. Ὁ Ξενοφῶν* (*Κύρ. Ἀνάβ.* 1, 5, 15) *ἀναφέρει ὅτι οἱ σύμβουλοι τοῦ βασιλέως τῶν Περσῶν ἐκαλοῦντο* πιστοί.

(3) *Σοῦσα, καθέδρα χειμερινὴ τῶν βασιλέων τῆς Περσίας κτισθεῖσα ὑπὸ Δαρείου τοῦ Ὑστάσπους καὶ ἔχουσα περίμετρον* 120 *σταδίων.*

(4) *Ἀγβάτανα καὶ Ἐκβάτανα, πρωτεύουσα τῆς Μηδίας, δευτέρα πρωτεύουσα τῶν βασιλέων τῆς Περσίας, σήμερον Ἀμαδάν.*

(5) *Κίσσα, πόλις πλησίον τῶν Σούσων, παλαιὰ πρωτεύουσα τῆς Σουσιανῆς.*

(6) *Εἰς τὰ 526 Π. Χ. ὁ πάππος τοῦ Ξέρξου Καμβύσης νικήσας τὸν Ψαμμήνιτον ἐγένετο κύριος τῆς Αἰγύπτου. Ἀποστατησάσης ταύτης δύο ἔτη πρὸ τοῦ θανάτου τοῦ Δαρείου ὑπετάγη ἐκ νέου τοῖς Πέρσαις ὑπὸ τοῦ Ξέρξου.*

(7) *Πόλις τῆς μέσης Αἰγύπτου παρὰ τὴν ἀριστερὰν ὄχθην τοῦ Νείλου, παλαιὰ καθέδρα τῶν Φαραώ, περίφημος διὰ τὸν ἐν αὐτῇ μεγαλοπρεπῆ ναὸν τοῦ Ἡφαίστου καὶ τὰς παρακειμένας πυραμίδας.*

(8) *Αἱ Θῆβαι, πόλις τῆς Ἄνω Αἰγύπτου, ἐκαλοῦντο καὶ Διόσπολις. Ἐκτισμένη ἐπ' ἀμφοτέρων τῶν ὀχθῶν τοῦ Νείλου ἦτο κατὰ τὸν Διόδωρον ἡ ἀρχαιοτάτη πόλις τοῦ κόσμου· καθέδρα Αἰγυπτίων βασιλέων καλουμένη ὑπὸ τοῦ Ὁμήρου* Ἑκατόμπυλος *εἶχε 80 σταδίων περίμετρον. Τὰ ἐρείπιά της καὶ σήμερον περιλαμβάνουσι τοιαύτην ἔκτασιν.*

(9) *Ἑλειοβάται—οἱ κάτοικοι τῶν περὶ τὸ Ἡρακλεωτικὸν στόμα τοῦ Νείλου ἀπεράντων ἑλῶν, οἵτινες κατὰ Θουκυδίδην (Α. 110) μαχιμώτατοι τῶν Αἰγυπτίων.*

(10) *Ἡ Λυδία ἢ Μαιονία κειμένη μεταξὺ Ἰωνίας, Μοισίας, Φρυγίας καὶ Καρίας ἦτο κατὰ τὸ πλεῖστον πεδινὴ καὶ διερρέετο ὑπὸ τοῦ Καΰστρου καὶ τοῦ χρυσορρόου Πακτωλοῦ, πηγαζόντων ἀμφοτέρων ἐκ τοῦ ὄρους Τμώλου. Οἱ κάτοικοι αὐτῆς ἦσαν ὀνομαστοὶ ἐπὶ τρυφῇ. Διὸ καὶ ὁ Κῦρος νικήσας αὐτοὺς τοῖς ἐπέβαλε νὰ φορῶσι κολπώδεις καὶ ποδήρεις χιτῶνας.*

(11) *Σάρδεις, πρωτεύουσα τῆς Λυδίας κειμένη παρὰ τὰς ὑπωρείας τοῦ Τμώλου διαρρέετο ὑπὸ τοῦ Πακτωλοῦ Καθέδρα τοῦ Κροίσου ἐπυρπολήθη τὸ 499 π.χ. ὑπὸ τῶν ἐμβαλόντων μετὰ τοῦ Ἀρισταγόρου τοῦ Μιλησίου εἰς τὴν Περσικὴν χώραν Ἀθηναίων.*

(12) *Μυσοὶ ἀκοντίοις ἐχρῶντο ἐπικαύστοις. Ἡρόδ.* VII, 74.

(13) *Τὸ Βαβυλώνιον κράτος διαρρεόμενον ὑπὸ τῶν ποταμῶν Εὐφράτου καὶ Τίγρεως, ὀνομαστὸν δὲ διὰ τὴν γονιμότητα τοῦ ἐδάφους ὑπέκυψεν εἰς τὴν Περσικὴν κυριαρχίαν τὸ 538 Π. Χ. ἐπὶ τοῦ βασιλέως αὐτοῦ Ναβόννηδος ἢ κατὰ τὴν Ἁγίαν Γραφὴν Βαλτάσαρ.*

(14) Ἕλλη, θυγάτηρ τοῦ Ἀθάμαντος, πνιγεῖσα ἐν τῷ πορθμῷ ὅστις ἐξ αὐτῆς ὠνομάσθη Ἑλλήσποντος. Τὸν πορθμὸν τοῦτον ἐγεφύρωσεν ὁ Ξέρξης διὰ σχεδίας συντεθείσης διὰ λινῶν σχοινίων. Ἡρόδ. Η'. 36.

(15) Ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον ταῖς ναυσὶ συνδήσας αὐτὰς καὶ γῆν ἐπιβαλὼν ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν· διὸ πολύγομφον ὅδισμα εἶπεν. Ἀρχ. Σχόλια.

(16) Ἐν τῷ κειμένῳ ποιμάνοριον, ἐκ τῆς ὀνομασίας τῶν βασιλέων, καλουμένων ποιμένων.

(17) Καθὸ καταγομένου τοῦ Ξέρξου ἐκ τοῦ Περσέως ὅστις κατὰ τὴν μυθολογίαν ἐγεννήθη ἐκ τοῦ Διὸς καὶ τῆς Δανάης πρὸς ἥν, κεκλεισμένην ἔν τινι πύργῳ εἰσεχώρησεν ὁ Ζεὺς ὑπὸ τὴν μορφὴν χρυσῆς βροχῆς. Ὅρα καὶ Ἡρόδ. (VII, 60) Χρυσογόνου, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγεννῆσθαι Ἀρχαῖος σχολιαστής.

(18) Ἄγων μεγάλην πεζικὴν δύναμιν. Ἡρόδ. Ζ, 20. «Ἐστρατηλάτει χειρὶ μεγάλῃ πλήθεος».

(19) Ἐν τῷ κειμένῳ Συρίου, διότι οἱ Πέρσαι τὸ πρῶτον Ἀσσύριοι ἐκαλοῦντο. Σχολ. Ἀρχ.

(20) Διότι οἱ Ἕλληνες ἦσαν ἐπιτηδειότεροι εἰς τὴν ἐκ τοῦ συστάδην (διὰ τῶν ἀγχεμάχων ὅπλων, οἷον τοῦ δόρατος καὶ ξίφους) μάχην, οἱ δὲ Πέρσαι εἰς τὴν διὰ τῶν τόξων. Ὁ Ἀρχ. Σχολ. ἀναφέρει τὸ δορυκλιτοῖς ἀνδράσιν εἰς μόνους τοὺς Ἀθηναίους.

(21) Ὁ Charles Prince ἑρμηνεύει τὸ χωρίον τοῦτο ὡς ἑξῆς. «Δύναταί τις νὰ κρατήσῃ χείμαρρον ἀνδρῶν (ὡς ἔπραξαν οἱ Σπαρτιᾶται καὶ Ἀθηναῖοι ἐν Θερμοπύλαις καὶ Μαραθῶνι) ἀλλὰ κῦμα θαλάσσης ἤτοι πλήμμυραν θαλάσσης ἥτις ἐπέρχεται ἐπὶ πᾶσαν χθόνα τίς δυνήσεται νὰ κρατήσῃ. Ἀλλ' ὁ χορὸς ἐγίνωσκε τὴν ἐν Θερμοπύλαις μάχην; Ἄλλως ἡ ἑρμηνεία αὕτη εἶνε λίαν αὐθαίρετος καὶ τολμηρά.

(22) Ἐν τῷ κειμένῳ πόντιον ἄλσος ἔκφρασις τολμηρά, ἀλλ' εἰκονική, ἧς ἀντίστοιχον δὲν εὕρομεν ἐν τῇ νεωτέρᾳ Ἑλληνικῇ.

(23) Μηχανὰς λαοπόρους ἐννοεῖ τὰς διαπορθμευούσας τοὺς λαοὺς ναῦς. «Οὐχ ὡς τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων». Ἀρχ. Σχολ.

(24) Καὶ ἐνταῦθα τὸ κείμενον φαίνεται παρεφθαρμένον. Ἐν τῇ μεταφράσει ἠκολουθήσαμεν τὸν ἀρχαῖον σχολιαστὴν ἵνα μὴ περιέλθωμεν εἰς τὸ ἀδιέξοδον. Ὁ Ἐρρ. Weil προέβη εἰς τολ-

μηρὰν διόρθωσιν χάριν ἰδίως τοῦ ἐν τῷ κειμένῳ τοῦδε ὅπερ πράγματι δυσχεραίνει τὴν ἑρμηνείαν. Ἀντὶ Περσικοῦ στρατεύματος, ἔγραψε, μὴ πύθηται τοῦδε στενάγματος ὀᾶ Περσικὴ πόλις.

(25) Ἄλιον πρῶνα τὸ ἐν τῇ θαλάσσῃ προεκτεινόμενον τῆς ἀκτῆς μέρος, πρόβολος, ἀκρωτήριον. Ὡς καὶ ἐν Ἀγαμεμ. «Σαρωνικοῦ πορθμοῦ πρῶνα» καὶ κατωτ. στιχ. 867.

(26) Ἐκ τῆς γενεᾶς τοῦ Περσέως, ἐξ οὗ πάντες ἔχομεν τὸ πατρωνύμιον ἤτοι τὸ ἐθνικὸν ὄνομα, καλούμενοι Πέρσαι.

(27) Ποῖοι ἐκ τῶν δύο ἐνίκησαν, οἱ τοξόται Πέρσαι ἢ οἱ δορικλυτοὶ Ἕλληνες.

«Ὁ μέγας οὗτος χορὸς εἶνε ὁ πρόλογος τῆς ἐπακολουθούσης μεγάλης πενθίμου συμφωνίας. Ὅλαι αἱ ἀντιθέσεις ἐν αὐτῷ συμφύρονται, ὅλαι αἱ σκέψεις ἐναλλάσσονται· ἔχει τὸν ῥυθμὸν τοῦ παλμοῦ. Ἡ ἐν αὐτῷ πεποίθησις κλονίζεται ὑπὸ τῆς ἀμφιβολίας, ἡ ἐπιπίπτουσα σκιὰ τῶν προαισθανομένων συμφορῶν ἀφαιρεῖ τὸ ἀκτινοβόλημα τῆς ὑπεροψίας· μένουσι δὲ ἄνευ ἀπαντήσεως αἱ ἐρωτήσεις, αἱ ἀπευθυνόμεναι πρὸς τὴν καλπάζουσαν ἴσως τὴν στιγμὴν ταύτην πρὸς τὴν πόλιν Μοῖραν, ὑπὸ τὴν ἀναπεπταμένην χλαμύδα Ἀγγέλου. Saint-Victor.

(28) «Τὸ ἀπεχθὲς αἴσθημα, ὅπερ αἰσθάνονται οἱ κάτοικοι τῆς Εὐρώπης, ὁπόταν ἀναγινώσκωσιν ἐν ἐκθέσεσι περιηγητῶν τὰς τελετὰς καὶ τοὺς δουλικοὺς τίτλους, τοὺς ἐπιδαψιλευομένους εἰς τοὺς Σάχας τῆς σημερινῆς Περσίας, ᾐσθάνοντο βεβαίως ζωηρότερον ἔτι οἱ Ἕλληνες, ἀκούοντες τὰς ἐμφαντικὰς ἐκείνας κολακείας· οἱ Ἕλληνες ἐκεῖνοι, οἱ ἁπλοῖ καὶ κατὰ φύσιν ζῶντες, δι' οὓς οὐδὲν μεγαλεῖον ὑπερέβαινε τὸ ἀνθρώπινον ἀνάστημα.

Θυγάτηρ τοῦ Κύρου, χήρα τοῦ Καμβύσου, γυνὴ τοῦ Δαρείου, καὶ μήτηρ τοῦ Ξέρξου ἡ Ἄτοσσα μέχρι

τῆς ἐπιστροφῆς τοῦ υἱοῦ της παρίστα εἰς τὰ ὄμματα τῶν Ἑλλήνων ἐν τῷ δράματι τοῦ Αἰσχύλου αὐτὴν τὴν Περσίαν ἔνσαρκον. Διετήρουν ζωηρῶς εἰς τὴν μνήμην τὸ ὄνομά της, καὶ ἔτρεφον κατ' αὐτῆς μνησικακίαν, διότι αὕτη ἔπεμψε τὴν στρατιὰν τοῦ Δαρείου, ὅπως ζητήσῃ εἰς τὴν Ἑλλάδα θεραπαινίδας. (Ἡρόδ. Γ'. 134 Ἐπιθυμῶ Λακαίνας γενέσθαι μοι θεραπαινίδας καὶ Ἀργείας καὶ Ἀττικὰς καὶ Κορινθίας). Ὁποίαν ἀλαζονικὴν χαρὰν προὐξένει εἰς τὸν Ἀθηναῖον ἡ ἐμφάνισις αὐτῆς ἐπὶ τῆς σκηνῆς σκυθρωπῆς καὶ καταβεβλημένης; Ἄνευ Μαραθῶνος καὶ ἄνευ Σαλαμῖνος ἡ προπετὴς αὐτῆς ἐπιθυμία θὰ ἐπληροῦτο ἀναμφιβόλως». Saint-Victor.

(29) Τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι Ἀρχ. Σχ.

(30) Τὴν λέξιν πλοῦτος ἀντικατέστησεν ὁ Weil διὰ τῆς στόλος, σημαινούσης ἐκστρατείαν. Ἀλλ' ἡ μεταβολὴ αὕτη καίτοι εὐκολύνουσά πως τὴν ἑρμηνείαν ἐφάνη ἡμῖν λίαν αὐθαίρετος· ἄλλως δὲν στηρίζεται ἐπαρκῶς ἐκ τῶν κατωτέρω στίχων. Ἐπιτυχεστέραν φρονῶ τὴν ὑπὸ τοῦ Heimsoeth γενομένην εἰς μέγας δαίμων, ἀλλὰ καὶ ταύτην οὐχὶ ἐπαρκῆ· ἄλλως ἀντίκειται εἰς πάσας τὰς ἀρχαίας γραφάς. Διὰ τοῦτο ἐν τῇ μεταφράσει ἠκολουθήσαμεν τὸ ἀρχαῖον κείμενον.

(31) Καὶ τὸ χωρίον τοῦτο εἶνε ἐκ τῶν σκοτεινῶν καὶ ἀνωμάλων προκαλέσαν πολλὰς κρίσεις καὶ ἐπικρίσεις καὶ ἑρμηνείας καὶ διορθώσεις, ὧν τινες προέβησαν μέχρι τοῦ γελοίου.

(32) Οὕτω ὠνόμαζον οἱ Πέρσαι τοὺς Ἕλληνας. Καὶ οἱ Τοῦρκοι σήμερον διακρίνουσι τοὺς ἐλευθέρους τῶν δούλων διὰ τοῦ ὀνόματος Γιουνὰν, παραλαβόντες αὐτὸ ἐκ τῆς Περσικῆς.

(33) Διότι ἡ Εὐρώπη καὶ Ἀσία ἦσαν θυγατέρες τοῦ αὐτοῦ πατρὸς Ὠκεανοῦ, ἀφ' ὧν τὰς Ἠπείρους ὀνομασθῆναι συμβέβηκεν. Ἀρχ. Σχόλ.

(34) Λέπαδνα λέγονται τὰ πλατέα λωρία δι' ὧν προσδέεται ὁ ῥυμὸς τῆς ἁμάξης εἰς τὸν λαιμὸν τῶν ἵππων.

